BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

APOLLONIVS PERGAEVS

EDIDIT

I. L. HEIBERG

I

STVTGARDIAE IN AEDIBVS B. G. TEVBNERI

APOLLONII PERGAEI

QVAE GRAECE EXSTANT

CVM COMMENTARIIS ANTIQVIS

EDIDIT ET LATINE INTERPRETATVS EST

I. L. HEIBERG

I

EDITIO STEREOTYPA EDITIONIS
ANNI MDCCCXCI

STVTGARDIAE IN AEDIBVS B. G. TEVBNERI MCMLXXIV

ISBN 3-519-01051-8

Printed in Germany
Druck: Julius Beltz, Hemsbach/Bergstr.

PRAEFATIO.

Conica Apollonii Pergaei, quae mathematicorum consensu summis iustissimisque efferuntur laudibus, post Halleium neminem editorem inuenerunt. et fortasse mathematicis, qui res solas spectant, aliquatenus interpretationibus satis fit; sed ne de iis dicam, quorum interest scire, quibus uerbis Apollonius ipse usus sit, et qua ratione formulas signaque nostrorum mathematicorum aequare potuerit, ipsis illis interpretationibus fundamentum certum tandem aliquando iactum esse oportet; quod Halleius, qui adhuc solus Conica Graece edidit, neque uoluit facere neque potuit, quae erat illis temporibus ratio artis criticae. itaque nouam editionem Conicorum codicibus Graecis perlustratis et collatis parare decreui, praesertim cum uiderem, editionem Halleii tam raram esse, ut etiam immodico pretio uix ac ne uix quidem posset comparari. sed ab initio mihi constabat, eos tantum libros, qui Graece exstarent, mihi tractandos esse. nam quamquam me non fugiebat, editionem ita mancam et quasi detruncatam fore, tamen a me impetrare non potui, ut interpretationem librorum V—VII, quam ex Arabico fecerat Halleius, nullis subsidiis criticis adiutus repeterem. et codices Arabicos propter linguae illius ignorantiam ipse adire non potui. imperfectum igitur maneat opus, donec aliquis linguae Arabicae peritus codicibus Arabicis collatis nouam recensionem illorum librorum instituerit. et ut sperare possimus, hoc breui futurum esse, effecit L. L. M. Nixius edita dissertatione, quae inscribitur Das fünfte Buch der Conica des Apollonius von Perga in der arabischen Uebersetzung des Thabit Ibn Corrah (Lipsiae 1889). qui ut opus bene et utiliter inceptum ad finem perducat, mecum optabunt, quicunque scripta mathematica Graecorum nouerunt coluntque.

Quattuor libris Conicorum, qui Graece supersunt, in uolumine altero adiungam fragmenta et Conicorum et reliquorum operum Apollonii, quae Graece habemus, et praeterea lemmata Pappi et commentaria Eutocii. constat, huius uiri recensionem librorum I—IV solam relictam esse; quare id primum mihi agendum erat, ut ea e codicibus restitueretur. quantum de pristina Conicorum forma ueri similiter statui potest, in prolegomenis criticis uoluminis alterius colligam; ibidem de cognatione codicum uberius exponam. hic breuiter indicabo, quibus codicibus nitatur recensio mea, et quanti quisque aestimandus sit. sunt igitur hi:

V — cod. Vatican. Gr. 206 bombyc. saec. XII—XIII, fol., duobus uoluminibus constans; continet fol. 1—160 Conicorum libros I—IV, fol. 161—239 Sereni opuscula. in fine mutilus est et omnino pessime habitus; singula folia plerumque charta pellucida inducta sunt. manus recentior (m. 2) lacunas quasdam (in Sereno) expleuit et in Apollonio nonnulla addidit et emendauit, manus recentissima (m. rec.) in margine nonnulla adscripsit. contuli Romae 1887.

v — cod. Vatic. Gr. 203, bombyc. saec. XIII, fol.; inter alia Conica continet fol. 56—84 e V descripta. cum e V descriptus sit, antequam is tempore et situ male habitus est, utilis est ad eos locos supplendos, qui in V euanuerunt uel correcti sunt; etiam figurae, quae interdum in V cum marginibus sublatae uel detruncatae sunt, saepe e v restitui potuerunt. inspexi codicem Romae 1887 et enotaui, quae opus esse uidebantur.

c — cod. Constantinopolitanus palatii ueteris nr. 40 bombyc. saec. XIII—XIV, fol., situ et madore paene pessumdatus, ceterum codicis V gemellus. is, cum a Fr. Blassio protractus esset et descriptus (Hermes XXIII p. 622 sq.), intercedente Ministerio nostro, quod res rationesque externas moderatur, Hauniam missus est et totus a me collatus 1889, sed cum plerumque cum V consentiat, scripturam plenam in adparatu non dedi, sed ea tantum, quae meliora praebet, sane paucissima; reliquam scripturae discrepantiam in prolegomenis criticis notabo. Conica habet fol. 349—516.

p — cod. Paris. Gr. 2342 chartac. saec. XIII, fol. totum contuli Hauniae 1888, sed cum ab homine sermonis mathematicorum Graecorum peritissimo impudenter interpolatus sit, in adparatum eas tantum scripturas recepi, quae ad uerba Apollonii emendanda facerent; reliquas prolegomenis seruaui. quae meliora habet, sine dubio pleraque coniectura inuenta sunt.

ceterorum codicum nullum prorsus usum esse, in prolegomenis demonstrabo, nisi quod e cod. Paris. 2356 chartac. saec. XVI unam et alteram coniecturam probam recepi.

itaque recensio Conicorum tota codice V nititur, cuius scripturas omnes in adparatu indicaui. sicubi eius scriptura retineri non poterat, auctorem scripturae receptae nominaui („corr."). qua in re praeter codices mihi praesto fuere:

Memus — Apollonii Pergei philosophi mathematiciqve excellentissimi Opera per Doctissimum Philosophum Ioannem Baptistam Memum Patritium Venetum Mathematicarumque Artium in Vrbe Veneta Lectorem Publicum De Graeco in Latinum Traducta et nouiter impressa. Venet. MDXXXVII fol.

Comm. uel Command. — Apollonii Pergaei conicorum libri quattuor... F. Commandinus Vrbinas mendis quamplurimis expurgata e Graeco conuertit et commentariis illustrauit. Bononiae MDLXVI fol.

Halley — Apollonii Pergaei Conicorum libri octo et Sereni Antissensis de sectione cylindri et coni libri duo, ed. E. Halleius. Oxoniae MDCCX fol.

de fontibus horum librorum in prolegomenis uidebimus. Memo et Commandino emendationem tum quoque tribui, ubi tacite ueram scripturam interpretantur, nisi etiam errore non perspecto eodem modo interpretati essent.

in interpretatione mea propositiones Apollonii citaui libro et propositionis numero, ubi eiusdem libri sunt, solo numero propositionis indicato; „Eucl.“ Elementa, „dat.“ Data Euclidis significat; lemmata Pappi numeris in Graeco ab Hultschio positis citantur.

Dixi infra p. 293 et alibi, in V interdum rectangula rectasque descripta esse; quae figurae quid significent, hic exponam. explicandi uiam mihi monstrauit Hieronymus G. Zeuthen, uir de Apollonio optime meritus. primum igitur in II, 50 inueniuntur hae figurae*):





hoc est $\varepsilon\chi^2 : \varepsilon\gamma^2 : \chi\varepsilon \times \varepsilon\delta =$
$\mu\kappa^2 : \eta\kappa^2 : \mu\kappa \times \kappa\vartheta$,

itaque $\gamma\varepsilon : \varepsilon\chi : \varepsilon\delta =$
$\eta\kappa : \kappa\mu : \kappa\vartheta$,

quae est ratiocinatio Apollonii p. 292, 27—294, 9. ergo figuras illas aliquis adscripsit ad ratiocinationem Apollonii illustrandam oculisque subiiciendam.

eodem modo paullo infra:



*) Ubi V mutilus est, figuras e v suppleui; c eadem fere habet

quae figurarum series ad p. 296, 17 sq. pertinet, sed tam mutila est, ut difficile sit dictu, quo modo ordinanda sit. nam in V sola secunda series rectangulorum exstat, quorum unum litteris caret; reliqua e v petita sunt. omnia ordine decurrent, si quattuor illae rectae primo loco ponentur et pro duobus quadratis litteris * carentibus describentur hae rectae



uel



tum enim habebimus: quoniam $\chi\varepsilon : \gamma\varepsilon = \varkappa\vartheta : \vartheta\zeta$, erit $\chi\varepsilon^2 : \varepsilon\gamma^2 : \chi\varepsilon \times \varepsilon\delta = \varkappa\vartheta^2 : \vartheta\zeta^2 : \varkappa\vartheta \times \vartheta\eta$; quare $\delta\varepsilon : \chi\varepsilon : \varepsilon\gamma = \eta\vartheta : \varkappa\vartheta : \zeta\vartheta$ (uel $\delta\varepsilon : \chi\varepsilon = \eta\vartheta : \varkappa\vartheta$).

Ad II, 51:



haec Vv, nisi quod V in $\zeta\lambda$ pro λ habet $\varkappa$. praeterea in vc post quattuor rectas adduntur hae



(in $\lambda\vartheta$ littera ϑ in solo c seruata est). has rectas si cum Zeuthenio ultimo loco ponemus, habebimus

$\varepsilon\eta : \eta\gamma = \zeta\lambda : \varkappa\lambda$ et $\varepsilon\eta \times \eta\delta : \eta\gamma^2 = \zeta\lambda \times \lambda\vartheta : \varkappa\lambda^2$;

quare $\eta\delta : \eta\gamma = \lambda\vartheta : \varkappa\lambda$, h. e. demonstrationem ab Apollonio omissam, triangulos $\varkappa\vartheta\lambda$, $\gamma\eta\delta$ similes esse, u. p. 304, 17—19 et conf. Pappi lemma VII.

III, 15:



haec series figurarum illustrat, quae habet Apollonius p. 344, 14—24. in codicibus Vvc hae sunt discrepantiae: ante primas rectas habet V

in quadrato $\delta\beta^2$ inferius β hab. vc, om. V, pro inferiore δ hab. ε Vvc; rectam $\gamma\beta$ solus c habet; in rectangulo $\beta\vartheta \times \mu\pi$ in latere inferiore add. litt. η — ϑ Vvc; rectangulum $\beta\gamma \times \beta\vartheta$ solus habet c; in quadrato $\eta\vartheta^2$ omnes litteras om. V, superiores η, ϑ vc; pro rectangulo $\gamma\beta \times \beta\vartheta$, quod omisit V, triangulum $\gamma\beta\vartheta$ habent vc; deinde v solus addit



erroribus emendatis hoc efficitur:

$$\delta\beta : \beta\varepsilon = \delta\beta^2 : \delta\beta \times \beta\varepsilon = \mu\pi : \gamma\beta$$
$$= \mu\pi \times \beta\vartheta : \beta\gamma \times \beta\vartheta = \vartheta\eta^2 : \beta\gamma \times \beta\vartheta.$$

III, 16:



hunc ordinem praebet c, in V binae figurae componuntur. in primo rectangulo δ om. V; in priore triangulo ε et η permutat c, in altero γ om. V; in quadrato $\alpha\gamma^2$ litteras inferiores om. V, α inferius c. illustrantur uerba Apollonii p. 350, 5 sq.

$$\zeta\varepsilon \times \varepsilon\delta : \alpha\varepsilon\eta : \alpha\varepsilon^2 = \gamma\beta^2 : \alpha\vartheta\gamma : \alpha\gamma^2.$$

III, 19 (in extrema prop. 17 leguntur):



hanc seriem om. c, primas tres figuras hab. v, om. V; in $\alpha\zeta^2$ litteras inferiores om. v; in $\eta\lambda \times \lambda\iota$ litteras η, λ om. V, μ et α earum loco hab. v; in $\varrho\varkappa\lambda\xi$ litt. ξ om. V, pro ea ζ hab. v; in $\mu\lambda \times \lambda\xi$ litt. μ, λ hab. v, om. V. illustratur, ut uidit Zeuthen, locus p. 358, 2 sq.

$$\alpha\zeta^2 : \delta\tau\zeta : \delta\zeta^2 = \eta\lambda \times \lambda\iota : \varrho\xi\lambda\varkappa : \mu\lambda \times \lambda\xi.$$

III, 21:



ordinem restituit Zeuthen; in c est $\begin{smallmatrix} & 1 & 2 \\ 4 & 5 & \\ & 3 & \end{smallmatrix}$, fig. 6 hab. v, om. Vc. in fig. 1 pro inferiore α litt. δ hab. Vvc; in fig. 2 β om. Vvc, ζ om. Vv, hab. c; in fig. 3 δ om. V; in fig. 4 pro o hab. ϑ v; in fig. 5 o hab. c, ϑ v, om. V, ϱ om. V, τ hab. c, om. Vv; in fig. 6 ω om. v, pro $\varkappa$, o hab. β, ϑ. illustratur p. 362, 11 sq.

$$\alpha\zeta^2 : \beta\zeta\upsilon : \beta\zeta \times \zeta\delta = \nu o \times o\eta : \varkappa o\varrho\tau : \varkappa o \times o\omega.$$

III, 54:



has om. c; in prima recta $\varkappa\alpha$ litt. $\varkappa$ om. V, hab. v; in fig. 2 α, μ ad partes dextras om. V, hab. v; fig. 3 om. V, α om. v, pro γ hab. α. demonstratio est proportionis p. 442, 12—13 ab Apollonio usurpatae; legenda enim

$$\begin{matrix} \nu\gamma : \mu\alpha = \lambda\gamma : \kappa\alpha \\ \mu\alpha : \mu\alpha = \kappa\alpha : \kappa\alpha \end{matrix} \text{ itaque } \nu\gamma \times \mu\alpha : \mu\alpha^2 = \lambda\gamma \times \kappa\alpha : \kappa\alpha^2.$$



has om. c, posteriores tres om. V, hab. v; in $\nu\beta \times \beta\mu$ pro μ hab. ν uel α V; in $\lambda\vartheta\kappa$ pro λ litt. α hab. v. legenda

$$\nu\gamma \times \mu\alpha : \mu\alpha^2 : \nu\beta \times \beta\mu = \gamma\lambda \times \alpha\kappa : \alpha\kappa^2 : \lambda\vartheta \times \vartheta\kappa,$$

quae illustrant uerba Apollonii p. 442, 14—15.

Praefandi finem faciam gratias quam maximas agens et praefectis bibliothecarum Parisiensis, cuius liberalitatem non semel expertus sum, et imperatoris Turcici, qui permisit, ut codex Constantinopolitanus hucusque peregrinaretur, et iis uiris, quibus intercedentibus mihi licuit codices illos Hauniam transmissos commode peruoluere, Christiano Bruun, bibliothecae regiae Hauniensis praefecto, et Petro A. F. S. Vedel, praeposito nostris cum populis externis rationibus.

Scr. Hauniae mense Octobri a. MDCCCXC.

I. L. Heiberg.

APOLLONII CONICA.

ΚΩΝΙΚΩΝ α΄.

Ἀπολλώνιος Εὐδήμῳ χαίρειν.

Εἰ τῷ τε σώματι εὖ ἐπανάγεις καὶ τὰ ἄλλα κατὰ γνώμην ἐστί σοι, καλῶς ἂν ἔχοι, μετρίως δὲ ἔχομεν καὶ αὐτοί. καθ' ὃν δὲ καιρὸν ἤμην μετά σου ἐν Περγάμῳ, ἐθεώρουν σε σπεύδοντα μετασχεῖν τῶν πεπραγμένων ἡμῖν κωνικῶν· πέπομφα οὖν σοι τὸ πρῶτον βιβλίον διορθωσάμενος, τὰ δὲ λοιπά, ὅταν εὐαρεστήσωμεν, ἐξαποστελοῦμεν· οὐκ ἀμνημονεῖν· γὰρ οἴομαί σε παρ' ἐμοῦ ἀκηκοότα, διότι τὴν περὶ ταῦτα ἔφοδον ἐποιησάμην ἀξιωθεὶς ὑπὸ Ναυκράτους τοῦ γεωμέτρου, καθ' ὃν καιρὸν ἐσχόλαζε παρ' ἡμῖν παραγενηθεὶς εἰς Ἀλεξάνδρειαν, καὶ διότι πραγματεύσαντες αὐτὰ ἐν ὀκτὼ βιβλίοις ἐξ αὐτῆς μεταδεδώκαμεν αὐτὰ εἰς τὸ σπουδαιότερον διὰ τὸ πρὸς ἔκπλῳ αὐτὸν εἶναι οὐ διακαθάραντες, ἀλλὰ πάντα τὰ ὑποπίπτοντα ἡμῖν θέντες ὡς ἔσχατον ἐπελευσόμενοι. ὅθεν καιρὸν νῦν λαβόντες ἀεὶ τὸ τυγχάνον διορθώσεως ἐκδίδομεν. καὶ ἐπεὶ συμβέβηκε καὶ ἄλλους τινὰς τῶν συμμεμιχότων ἡμῖν μετειληφέναι τὸ πρῶτον καὶ τὸ δεύτερον βιβλίον πρὶν ἢ διορθωθῆναι, μὴ θαυμάσῃς, ἐὰν περιπίπτῃς αὐτοῖς ἑτέρως ἔχουσιν. ἀπὸ δὲ τῶν ὀκτὼ βιβλίων τὰ πρῶτα

---

1. *Ἀπολλωνίου Περγαίου κωνικῶν α΄* V. 8. *εὐαρεστήσωμεν*] in V *εστ* litterae ita coniunctae, ut similes fiant *ετ*. 15. *διά* — 16. *τά*] rep. mg. m. rec. V (15. *εὔπλῳ*) addito $\overset{\tau}{M}$ *ἐξ ἀπογράφου*

CONICORUM LIBER I.

Apollonius Eudemo s.

Si corpore conualescis ceteraque tibi ex sententia sunt, bene est, equidem satis ualeo. quo autem tempore tecum Pergami eram, uidebam te cupidum esse conica a me elaborata cognoscendi. quare primum librum ad te misi, postquam eum emendaui, reliquos autem, quando iis contenti erimus, mittemus. neque enim credo, te oblitum esse, quod a me audisti, me ad haec adcessisse rogatu Naucratis geometrae, quo tempore Alexandriam profectus nobiscum degeret, nosque ea in octo libris elaborata statim festinantius paullo cum eo communicasse, quod in eo esset, ut discederet, ita ut ea non perpurgaremus, sed omnia, quae nobis in mentem uenirent, poneremus sperantes fore, ut postea perpoliremus. quare iam occasionem nacti, prout correcta sunt, ea edimus. et quoniam accidit, ut etiam alii quidam eorum, qui nobiscum uersati sunt, primum alterumque libros nacti sint, priusquam correcti essent, miratus ne sis, si in eos aliam habentes formam incideris. horum uero octo librorum quattuor priores ad institutionem elementarem

---

εἰκονικοῦ. *γϱ.*, quia magna ex parte euan.; sed quae dedimus, hab. cv. 15. *ἔκπλουν* cp, fort. recte. 16. *ὡς* — 17. *ἐπελευσόμενοι*] cv; euan. V., rep. mg. m. rec.

τέσσαρα πέπτωκεν εἰς ἀγωγὴν στοιχειώδη, περιέχει δὲ τὸ μὲν πρῶτον τὰς γενέσεις τῶν τριῶν τομῶν καὶ τῶν ἀντικειμένων καὶ τὰ ἐν αὐταῖς ἀρχικὰ συμπτώματα ἐπὶ πλέον καὶ καθόλου μᾶλλον ἐξειργασμένα παρὰ τὰ ὑπὸ τῶν ἄλλων γεγραμμένα, τὸ δὲ δεύτερον τὰ περὶ τὰς διαμέτρους καὶ τοὺς ἄξονας τῶν τομῶν συμβαίνοντα καὶ τὰς ἀσυμπτώτους καὶ ἄλλα γενικὴν καὶ ἀναγκαίαν χρείαν παρεχόμενα πρὸς τοὺς διορισμούς· τίνας δὲ διαμέτρους καὶ τίνας ἄξονας καλῶ, εἰδήσεις ἐκ τούτου τοῦ βιβλίου. τὸ δὲ τρίτον πολλὰ καὶ παράδοξα θεωρήματα χρήσιμα πρός τε τὰς συνθέσεις τῶν στερεῶν τόπων καὶ τοὺς διορισμούς, ὧν τὰ πλεῖστα καὶ κάλλιστα ξένα, ἃ καὶ κατανοήσαντες συνείδομεν μὴ συντιθέμενον ὑπὸ Εὐκλείδου τὸν ἐπὶ τρεῖς καὶ τέσσαρας γραμμὰς τόπον, ἀλλὰ μόριον τὸ τυχὸν αὐτοῦ καὶ τοῦτο οὐκ εὐτυχῶς· οὐ γὰρ ἦν δυνατὸν ἄνευ τῶν προσευρημένων ἡμῖν τελειωθῆναι τὴν σύνθεσιν. τὸ δὲ τέταρτον, ποσαχῶς αἱ τῶν κώνων τομαὶ ἀλλήλαις τε καὶ τῇ τοῦ κύκλου περιφερείᾳ συμβάλλουσι, καὶ ἄλλα ἐκ περισσοῦ, ὧν οὐδέτερον ὑπὸ τῶν πρὸ ἡμῶν γέγραπται, κώνου τομὴ ἢ κύκλου περιφέρεια κατὰ πόσα σημεῖα συμβάλλουσι. τὰ δὲ λοιπά ἐστι περιουσιαστικώτερα· ἔστι γὰρ τὸ μὲν περὶ ἐλαχίστων καὶ μεγίστων ἐπὶ πλέον, τὸ δὲ περὶ ἴσων καὶ ὁμοίων κώνου τομῶν, τὸ δὲ περὶ διοριστικῶν θεωρημάτων, τὸ δὲ προβλημάτων κωνικῶν διωρισμένων. οὐ μὴν ἀλλὰ καὶ πάντων ἐκδοθέντων ἔξεστι τοῖς περιτυγχάνουσι κρίνειν αὐτά, ὡς ἂν αὐτῶν ἕκαστος αἱρῆται. εὐτύχει.

---

1. *πέπτωκεν*] cp, *πέπτωκε* V. 5. *τάς*] *τούς* V, corr. p. 9. *καί*] scripsi, *ἤ* V. 13. *συνείδαμεν* V (fort. recte; cfr. *εἶπα*); corr. v. 17. *-νων ἡμῖν — τό*] cv; euan. V, rep. mg. m.

pertinent, continet autem primus origines trium sectionum oppositarumque et proprietates earum principales latius uniuersaliusque expositas, quam quae ceteri de iis scripserunt, alter, quae diametri axesque sectionum et asymptotae propria habent aliaque, quae usum generalem necessariumque ad determinationes praebent; quas autem diametros quosque axes adpellem, ex hoc libro comperies. tertius uero plurima et mira continet theoremata et ad compositionem locorum solidorum et ad determinationes utilia, quorum pleraque et pulcherrima noua sunt; quibus inuentis cognoui, locum ad tres et quattuor lineas minime ab Euclide componi, sed partem tantum fortuitam eius, et id quidem non optime; neque enim fieri potuit, ut compositio sine propositionibus a nobis adiectis perficeretur. quartus autem continet, quot modis sectiones conorum et inter se et cum ambitu circuli concurrant, et praeterea alia quaedam, quorum neutrum genus a prioribus tractatum est, in quot punctis sectio coni uel ambitus circuli concurrant [cum oppositis sectionibus]. reliqui autem libri ulterius progrediuntur. primus enim eorum de minimis et maximis latius tractat, secundus de coni sectionibus aequalibus et similibus, tertius de theorematis ad determinationem pertinentibus, quartus problemata conica habet determinata. uerum enimuero omnibus editis iis, qui legent, licet, eos pro cuiusque uoluntate aestimare. uale.

---

rec. (add. γρ^αι). 18. κώνων] cv; euan. V, rep. mg. m. rec. 21. κατά] scr. ταῖς ἀντικειμέναις κατά; cfr. IV praef.

Ὅροι πρῶτοι.

Ἐὰν ἀπό τινος σημείου πρὸς κύκλου περιφέρειαν, ὃς οὐκ ἔστιν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τῷ σημείῳ, εὐθεῖα ἐπιζευχθεῖσα ἐφ' ἑκάτερα προσεκβληθῇ, καὶ μένοντος τοῦ σημείου ἡ εὐθεῖα περιενεχθεῖσα περὶ τὴν τοῦ κύκλου περιφέρειαν εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὴν γραφεῖσαν ὑπὸ τῆς εὐθείας ἐπιφάνειαν, ἣ σύγκειται ἐκ δύο ἐπιφανειῶν κατὰ κορυφὴν ἀλλήλαις κειμένων, ὧν ἑκατέρα εἰς ἄπειρον αὔξεται τῆς γραφούσης εὐθείας εἰς ἄπειρον προσεκβαλλομένης, καλῶ κωνικὴν ἐπιφάνειαν, κορυφὴν δὲ αὐτῆς τὸ μεμενηκὸς σημεῖον, ἄξονα δὲ τὴν διὰ τοῦ σημείου καὶ τοῦ κέντρου τοῦ κύκλου ἀγομένην εὐθεῖαν.

κῶνον δὲ τὸ περιεχόμενον σχῆμα ὑπό τε τοῦ κύκλου καὶ τῆς μεταξὺ τῆς τε κορυφῆς καὶ τῆς τοῦ κύκλου περιφερείας κωνικῆς ἐπιφανείας, κορυφὴν δὲ τοῦ κώνου τὸ σημεῖον, ὃ καὶ τῆς ἐπιφανείας ἐστὶ κορυφή, ἄξονα δὲ τὴν ἀπὸ τῆς κορυφῆς ἐπὶ τὸ κέντρον τοῦ κύκλου ἀγομένην εὐθεῖαν, βάσιν δὲ τὸν κύκλον.

τῶν δὲ κώνων ὀρθοὺς μὲν καλῶ τοὺς πρὸς ὀρθὰς ἔχοντας ταῖς βάσεσι τοὺς ἄξονας, σκαληνοὺς δὲ τοὺς μὴ πρὸς ὀρθὰς ἔχοντας ταῖς βάσεσι τοὺς ἄξονας.

πάσης καμπύλης γραμμῆς, ἥτις ἐστὶν ἐν ἑνὶ ἐπιπέδῳ, διάμετρον μὲν καλῶ εὐθεῖαν, ἥτις ἠγμένη ἀπὸ τῆς καμπύλης γραμμῆς πάσας τὰς ἀγομένας ἐν τῇ γραμμῇ εὐθείας εὐθείᾳ τινὶ παραλλήλους δίχα διαιρεῖ, κορυφὴν δὲ τῆς γραμμῆς τὸ πέρας τῆς εὐθείας τὸ πρὸς τῇ γραμμῇ, τεταγμένως δὲ ἐπὶ τὴν διάμετρον κατῆχθαι ἑκάστην τῶν παραλλήλων.

---

29. κατῆχθαι] syll. αι comp. V, mg. m. rec. „χθαι ... 17".

Definitiones I.

1. Si a puncto aliquo ad ambitum circuli, qui in eodem plano, in quo punctum, positus non est, ducta recta in utramque partem producitur, et manente puncto recta per ambitum circuli circumacta in eundem rursus locum restituitur, unde ferri coepta est, superficiem recta descriptam, ex duabus superficiebus ad uerticem inter se positis compositam, quarum utraque in infinitum crescit recta describente in infinitum producta, superficiem conicam adpello, uerticem autem eius punctum manens, axem autem rectam per punctum et centrum circuli ductam.

2. Conum autem figuram comprehensam circulo et superficie conica inter uerticem ambitumque circuli posita, uerticem autem coni punctum, quod idem est uertex superficiei, axem autem rectam a uertice ad centrum circuli ductam, basim autem circulum.

3. Conorum uero rectos adpello, qui axes ad bases perpendiculares habent, obliquos autem, qui axes ad bases perpendiculares non habent.

4. Omnis lineae curuae, quae in uno plano posita est, diametrum adpello rectam, quae a linea curua ducta omnes rectas in linea illa rectae alicui parallelas ductas in binas partes aequales secat, uerticem autem lineae terminum huius rectae in linea, singulas autem rectas parallelas ad diametrum ordinate ductas esse.

ὁμοίως δὲ καὶ δύο καμπύλων γραμμῶν ἐν ἑνὶ ἐπιπέδῳ κειμένων διάμετρον καλῶ πλαγίαν μέν, ἥτις εὐθεῖα τέμνουσα τὰς δύο γραμμὰς πάσας τὰς ἀγομένας ἐν ἑκατέρᾳ τῶν γραμμῶν παρά τινα εὐθεῖαν δίχα τέμνει, κορυφὰς δὲ τῶν γραμμῶν τὰ πρὸς ταῖς γραμμαῖς πέρατα τῆς διαμέτρου, ὀρθίαν δέ, ἥτις κειμένη μεταξὺ τῶν δύο γραμμῶν πάσας τὰς ἀγομένας παραλλήλους εὐθείας εὐθείᾳ τινὶ καὶ ἀπολαμβανομένας μεταξὺ τῶν γραμμῶν δίχα τέμνει, τεταγμένως δὲ ἐπὶ τὴν διάμετρον κατῆχθαι ἑκάστην τῶν παραλλήλων.

συζυγεῖς καλῶ διαμέτρους [δύο] καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν εὐθείας, ὧν ἑκατέρα διάμετρος οὖσα τὰς τῇ ἑτέρᾳ παραλλήλους δίχα διαιρεῖ.

ἄξονα δὲ καλῶ καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν εὐθεῖαν, ἥτις διάμετρος οὖσα τῆς γραμμῆς ἢ τῶν γραμμῶν πρὸς ὀρθὰς τέμνει τὰς παραλλήλους.

συζυγεῖς καλῶ ἄξονας καμπύλης γραμμῆς καὶ δύο καμπύλων γραμμῶν εὐθείας, αἵτινες διάμετροι οὖσαι συζυγεῖς πρὸς ὀρθὰς τέμνουσι τὰς ἀλλήλων παραλλήλους.

α´.

Αἱ ἀπὸ τῆς κορυφῆς τῆς κωνικῆς ἐπιφανείας ἀγόμεναι εὐθεῖαι ἐπὶ τὰ ἐν τῇ ἐπιφανείᾳ σημεῖα ἐν τῇ ἐπιφανείᾳ εἰσίν.

ἔστω κωνικὴ ἐπιφάνεια, ἧς κορυφὴ τὸ A σημεῖον, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς κωνικῆς ἐπιφανείας τὸ B, καὶ ἐπεζεύχθω τις εὐθεῖα ἡ $A\Gamma B$. λέγω, ὅτι ἡ $A\Gamma B$ εὐθεῖα ἐν τῇ ἐπιφανείᾳ ἐστίν.

---

5. πρός] προσ` seq. lineola fortuita V. 6. ὀρθίαν] p; ὀρθείαν V, mg. m. rec. „ὀρθίαν ut infra“. 9. τέμνει] p, τέμνῃ V. 11. δύο] om. Halley cum Comm. 21. α´] cv, om. V.

5. Similiter uero etiam duarum linearum curuarum in uno plano positarum diametrum transuersam adpello rectam, quae duas illas lineas secans omnes rectas in utraque linea rectae alicui parallelas ductas in binas partes aequales secat, uertices autem linearum terminos diametri in linea positos, rectam autem, quae inter duas lineas posita omnes rectas rectae alicui parallelas ductas et inter lineas abscisas in binas partes aequales secat, singulas autem parallelas ad diametrum ordinate ductas esse.

6. Coniugatas diametros adpello lineae curuae duarumque linearum curuarum rectas, quarum utraque diametrus est et rectas alteri parallelas in binas partes aequales secat.

7. Axem uero lineae curuae duarumque linearum curuarum rectam adpello, quae diametrus est lineae linearumue et parallelas ad angulos rectos secat.

8. Axes coniugatos adpello lineae curuae duarumque linearum curuarum rectas, quae diametri coniugatae sunt et altera alterius parallelas ad rectos angulos secant.

I.

Rectae a uertice superficiei conicae ad puncta superficiei ductae in superficie sunt.



sit superficies conica, cuius uertex sit A punctum, et sumatur in superficie conica punctum aliquod B, et ducatur recta aliqua $A\Gamma B$. dico, rectam $A\Gamma B$ in superficie esse.

εἰ γὰρ δυνατόν, μὴ ἔστω, καὶ ἔστω ἡ γεγραφυῖα τὴν ἐπιφάνειαν εὐθεῖα ἡ $ΔE$, ὁ δὲ κύκλος, καθ᾽ οὗ φέρεται ἡ $EΔ$, ὁ EZ. ἐὰν δὴ μένοντος τοῦ A σημείου ἡ $ΔE$ εὐθεῖα φέρηται κατὰ τῆς τοῦ EZ κύκλου περιφερείας, ἥξει καὶ διὰ τοῦ B σημείου, καὶ ἔσται δύο εὐθειῶν τὰ αὐτὰ πέρατα· ὅπερ ἄτοπον.

οὐκ ἄρα ἡ ἀπὸ τοῦ A ἐπὶ τὸ B ἐπιζευγνυμένη εὐθεῖα οὐκ ἔστιν ἐν τῇ ἐπιφανείᾳ· ἐν τῇ ἐπιφανείᾳ ἄρα ἐστί.

πόρισμα.

καὶ φανερόν, ὅτι, ἐὰν ἀπὸ τῆς κορυφῆς ἐπί τι σημεῖον τῶν ἐντὸς τῆς ἐπιφανείας ἐπιζευχθῇ εὐθεῖα, ἐντὸς πεσεῖται τῆς κωνικῆς ἐπιφανείας, καὶ ἐὰν ἐπί τι τῶν ἐκτὸς ἐπιζευχθῇ, ἐκτὸς ἔσται τῆς ἐπιφανείας.

β΄.

Ἐὰν ἐφ᾽ ὁποτερασοῦν τῶν κατὰ κορυφὴν ἐπιφανειῶν δύο σημεῖα ληφθῇ, ἡ δὲ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα μὴ νεύῃ ἐπὶ τὴν κορυφήν, ἐντὸς πεσεῖται τῆς ἐπιφανείας, ἡ δὲ ἐπ᾽ εὐθείας αὐτῇ ἐκτός.

ἔστω κωνικὴ ἐπιφάνεια, ἧς κορυφὴ μὲν τὸ A σημεῖον, ὁ δὲ κύκλος, καθ᾽ οὗ φέρεται ἡ τὴν ἐπιφάνειαν γράφουσα εὐθεῖα, ὁ $BΓ$, καὶ εἰλήφθω ἐφ᾽ ὁποτερασοῦν τῶν κατὰ κορυφὴν ἐπιφανειῶν δύο σημεῖα τὰ $Δ$, E, καὶ ἐπιζευχθεῖσα ἡ $ΔE$ μὴ νευέτω ἐπὶ τὸ A σημεῖον. λέγω, ὅτι ἡ $ΔE$ ἐντὸς ἔσται τῆς ἐπιφανείας καὶ ἡ ἐπ᾽ εὐθείας αὐτῇ ἐκτός.

ἐπεζεύχθωσαν αἱ AE, $AΔ$ καὶ ἐκβεβλήσθωσαν· πεσοῦνται δὴ ἐπὶ τὴν τοῦ κύκλου περιφέρειαν. πιπτέ-

2. καθ᾽] cv; κα- euan. V, rep. mg. m. rec. 10. πόρισμα] om. V.

nam si fieri potest, ne sit, et ΔE sit recta superficiem describens, circulus autem, per quem fertur, sit EZ. itaque, si manente puncto A recta ΔE per ambitum circuli EZ fertur, etiam per punctum B ueniet, et duae rectae eosdem terminos habebunt; quod fieri non potest.

ergo fieri non potest, ut recta ab A ad B ducta in superficie non sit. ergo est in superficie.

Corollarium.

et manifestum est, si a uertice ad punctum aliquod eorum, quae intra superficiem sunt, recta ducatur, eam intra superficiem conicam casuram esse, et si ad aliquod eorum ducatur, quae extra sunt, extra superficiem casuram.

II.

Si in utralibet superficie earum, quae ad uerticem inter se positae sunt, duo puncta sumuntur, et recta puncta illa coniungens ad uerticem non cadit, intra superficiem cadet, producta uero in directum extra.

sit superficies conica, cuius uertex sit A, circulus autem, per quem recta superficiem describens fertur, sit $B\Gamma$, et in utralibet superficie earum, quae ad uerticem sunt inter se, duo puncta sumantur Δ, E, et ducta ΔE ne cadat ad punctum A. dico, ΔE intra superficiem esse, productam autem in directum extra.

ducantur AE, $A\Delta$ et producantur; cadent igitur ad ambitum circuli [prop. I]. cadant in B, Γ, et ducatur $B\Gamma$; $B\Gamma$ igitur intra circulum erit; quare etiam intra superficiem conicam. iam in ΔE sumatur punctum aliquod Z, et ducta AZ producatur; cadet igitur *τωσαν κατὰ τὰ Β, Γ, καὶ ἐπεζεύχθω ἡ ΒΓ· ἔσται ἄρα ἡ ΒΓ ἐντὸς τοῦ κύκλου· ὥστε καὶ τῆς κωνικῆς ἐπιφανείας. εἰλήφθω δὴ ἐπὶ τῆς ΔΕ τυχὸν σημεῖον τὸ Ζ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΖ ἐκβεβλήσθω. πεσεῖται δὴ ἐπὶ τὴν ΒΓ εὐθεῖαν· τὸ γὰρ ΒΓΑ τρίγωνον ἐν ἑνί ἐστιν ἐπιπέδῳ. πιπτέτω κατὰ τὸ Η. ἐπεὶ οὖν τὸ Η ἐντός ἐστι τῆς κωνικῆς ἐπιφανείας, καὶ ἡ ΑΗ ἄρα ἐντός ἐστι τῆς κωνικῆς ἐπιφανείας· ὥστε καὶ τὸ Ζ ἐντός ἐστι τῆς κωνικῆς ἐπιφανείας. ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ πάντα τὰ ἐπὶ τῆς ΔΕ σημεῖα ἐντός ἐστι τῆς ἐπιφανείας· ἡ ἄρα ΔΕ ἐντός ἐστι τῆς ἐπιφανείας.*

ἐκβεβλήσθω δὴ ἡ ΔΕ ἐπὶ τὸ Θ. λέγω δή, ὅτι ἐκτὸς πεσεῖται τῆς κωνικῆς ἐπιφανείας. εἰ γὰρ δυνατόν, ἔστω τι αὐτῆς τὸ Θ μὴ ἐκτὸς τῆς κωνικῆς ἐπιφανείας, καὶ ἐπιζευχθεῖσα ἡ ΑΘ ἐκβεβλήσθω· πεσεῖται δὴ ἢ ἐπὶ τὴν περιφέρειαν τοῦ κύκλου ἢ ἐντός· ὅπερ ἐστὶν ἀδύνατον· πίπτει γὰρ ἐπὶ τὴν ΒΓ ἐκβαλλομένην ὡς κατὰ τὸ Κ. ἡ ΕΘ ἄρα ἐκτός ἐστι τῆς ἐπιφανείας.

ἡ ἄρα ΔΕ ἐντός ἐστι τῆς κωνικῆς ἐπιφανείας, καὶ ἡ ἐπ' εὐθείας αὐτῇ ἐκτός.

γ΄.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τῆς κορυφῆς, ἡ τομὴ τρίγωνόν ἐστιν.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ τινὶ διὰ τοῦ Α σημείου, καὶ ποιείτω τομὰς ἐπὶ μὲν τῆς ἐπιφανείας τὰς ΑΒ, ΑΓ γραμμάς, ἐν δὲ τῇ βάσει τὴν ΒΓ εὐθεῖαν. λέγω, ὅτι τὸ ΑΒΓ τρίγωνόν ἐστιν.

1. *ἄρα*] cv; euan. V, rep. mg. m. rec. 16. *περιφέφειαν* V (in alt. φ inc. fol. 3[u]), corr. m. rec. *ἀδύνατον*] cv, *-τον* euan. V. 20. *ἐκτός*] *ἐκτός* :— V. 28. *ΑΒΓ*] p, *ΑΓ* V, corr. m. 2 v.

ad rectam $B\Gamma$; triangulus enim $B\Gamma A$ in uno plano positus est [Eucl. XI, 2]. cadat in H. iam quoniam H intra superficiem conicam est, etiam AH intra superficiem conicam est [prop. I coroll.]; quare etiam Z intra superficiem conicam est. similiter igitur demonstrabimus, etiam omnia puncta rectae $\varDelta E$ intra superficiem esse; itaque $\varDelta E$ intra superficiem est.







iam $\varDelta E$ ad Θ producatur. dico, eam extra superficiem conicam cadere. nam si fieri potest, pars eius aliqua uelut Θ extra superficiem conicam ne sit, et ducta $A\Theta$ producatur. cadet igitur aut in ambitum circuli aut intra [prop. I et coroll.]; quod fieri non potest. cadit enim in $B\Gamma$ productam ut in K. itaque $E\Theta$ extra superficiem est.

ergo $\varDelta E$ intra superficiem conicam est, producta autem in directum extra.

III.

Si conus per uerticem plano secatur, sectio triangulus est.

sit conus, cuius uertex sit A punctum, basis autem circulus $B\Gamma$, et secetur plano aliquo per A punctum, et hoc sectiones efficiat in superficie lineas AB, $A\Gamma$, in basi autem rectam $B\Gamma$. dico, $AB\Gamma$ triangulum esse.

ἐπεὶ γὰρ ἡ ἀπὸ τοῦ A ἐπὶ τὸ B ἐπιζευγνυμένη κοινὴ τομή ἐστι τοῦ τέμνοντος ἐπιπέδου καὶ τῆς τοῦ κώνου ἐπιφανείας, εὐθεῖα ἄρα ἐστὶν ἡ AB· ὁμοίως δὲ καὶ ἡ $A\Gamma$. ἔστι δὲ καὶ ἡ $B\Gamma$ εὐθεῖα. τρίγωνον ἄρα ἐστὶ τὸ $AB\Gamma$.

ἐὰν ἄρα κῶνος ἐπιπέδῳ τινὶ τμηθῇ διὰ τῆς κορυφῆς, ἡ τομὴ τρίγωνόν ἐστιν.

δ'.

Ἐὰν ὁποτεραοῦν τῶν κατὰ κορυφὴν ἐπιφανειῶν ἐπιπέδῳ τινὶ τμηθῇ παραλλήλῳ τῷ κύκλῳ, καθ' οὗ φέρεται ἡ γράφουσα τὴν ἐπιφάνειαν εὐθεῖα, τὸ ἐναπολαμβανόμενον ἐπίπεδον μεταξὺ τῆς ἐπιφανείας κύκλος ἔσται τὸ κέντρον ἔχων ἐπὶ τοῦ ἄξονος, τὸ δὲ περιεχόμενον σχῆμα ὑπό τε τοῦ κύκλου καὶ τῆς ἀπολαμβανομένης ὑπὸ τοῦ τέμνοντος ἐπιπέδου κωνικῆς ἐπιφανείας πρὸς τῇ κορυφῇ κῶνος ἔσται.

ἔστω κωνικὴ ἐπιφάνεια, ἧς κορυφὴ μὲν τὸ A σημεῖον, ὁ δὲ κύκλος, καθ' οὗ φέρεται ἡ τὴν ἐπιφάνειαν γράφουσα εὐθεῖα, ὁ $B\Gamma$, καὶ τετμήσθω ἐπιπέδῳ τινὶ παραλλήλῳ τῷ $B\Gamma$ κύκλῳ, καὶ ποιείτω ἐν τῇ ἐπιφανείᾳ τομὴν τὴν ΔE γραμμήν. λέγω, ὅτι ἡ ΔE γραμμὴ κύκλος ἐστὶν ἐπὶ τοῦ ἄξονος ἔχων τὸ κέντρον.

εἰλήφθω γὰρ τὸ κέντρον τοῦ $B\Gamma$ κύκλου τὸ Z, καὶ ἐπεζεύχθω ἡ AZ. ἄξων ἄρα ἐστὶ καὶ συμβάλλει τῷ τέμνοντι ἐπιπέδῳ. συμβαλλέτω κατὰ τὸ H, καὶ ἐκβεβλήσθω τι διὰ τῆς AZ ἐπίπεδον. ἔσται δὴ ἡ τομὴ τρίγωνον τὸ $AB\Gamma$. καὶ ἐπεὶ τὰ Δ, H, E σημεῖα ἐν τῷ τέμνοντί ἐστιν ἐπιπέδῳ, ἔστι δὲ καὶ ἐν τῷ τοῦ

7. ἐστιν] ἐστί :— V.



nam quoniam linea ab A ad B ducta communis est sectio plani secantis et superficiei conicae, recta est AB. et eadem de causa $A\Gamma$. uerum etiam $B\Gamma$ recta est. itaque $AB\Gamma$ triangulus est.

ergo si conus plano per uerticem secatur, sectio triangulus est.

IV.

Si utralibet superficies earum, quae ad uerticem sunt inter se, plano secatur aliquo ei circulo parallelo, per quem fertur recta superficiem describens, planum intra superficiem comprehensum circulus erit centrum in axe habens, figura autem a circulo et superficie conica plano secante abscisa ad uerticem comprehensa conus erit.

sit superficies conica, cuius uertex sit A punctum, circulus autem, per quem fertur recta superficiem



describens, $B\Gamma$, et secetur plano aliquo circulo $B\Gamma$ parallelo, et hoc in superficie sectionem efficiat lineam ΔE. dico, lineam ΔE circulum esse centrum in axe habentem.

sumatur enim Z centrum circuli $B\Gamma$, et ducatur AZ. axis igitur est [def. 1] et cum plano secante

ΔΒΓ ἐπιπέδῳ, εὐθεῖα ἄρα ἐστὶν ἡ *ΔΗΕ*. εἰλήφθω δή τι σημεῖον ἐπὶ τῆς *ΔΕ* γραμμῆς τὸ *Θ*, καὶ ἐπιζευχθεῖσα ἡ *ΑΘ* ἐκβεβλήσθω. συμβαλεῖ δὴ τῇ *ΒΓ* περιφερείᾳ. συμβαλλέτω κατὰ τὸ *Κ*, καὶ ἐπεζεύχθωσαν αἱ *ΗΘ*, *ΖΚ*. καὶ ἐπεὶ δύο ἐπίπεδα παράλληλα τὰ *ΔΕ*, *ΒΓ* ὑπὸ ἐπιπέδου τινὸς τέμνεται τοῦ *ΑΒΓ*, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰσι· παράλληλος ἄρα ἐστὶν ἡ *ΔΕ* τῇ *ΒΓ*. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ *ΗΘ* τῇ *ΚΖ* παράλληλος. ἔστιν ἄρα ὡς ἡ *ΖΑ* πρὸς τὴν *ΑΗ*, οὕτως ἥ τε *ΖΒ* πρὸς *ΔΗ* καὶ ἡ *ΖΓ* πρὸς *ΗΕ* καὶ ἡ *ΖΚ* πρὸς *ΗΘ*. καί εἰσιν αἱ τρεῖς αἱ *ΒΖ*, *ΚΖ*, *ΖΓ* ἴσαι ἀλλήλαις· καὶ αἱ τρεῖς ἄρα αἱ *ΔΗ*, *ΗΘ*, *ΗΕ* ἴσαι εἰσὶν ἀλλήλαις. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ πᾶσαι αἱ ἀπὸ τοῦ *Η* σημείου πρὸς τὴν *ΔΕ* γραμμὴν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσί.

κύκλος ἄρα ἐστὶν ἡ *ΔΕ* γραμμὴ τὸ κέντρον ἔχων ἐπὶ τοῦ ἄξονος.

καὶ φανερόν, ὅτι τὸ περιεχόμενον σχῆμα ὑπό τε τοῦ *ΔΕ* κύκλου καὶ τῆς ἀπολαμβανομένης ὑπ᾽ αὐτοῦ πρὸς τῷ *Α* σημείῳ κωνικῆς ἐπιφανείας κῶνός ἐστι.

καὶ συναποδέδεικται, ὅτι ἡ κοινὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου διάμετρός ἐστι τοῦ κύκλου.

ε΄.

Ἐὰν κῶνος σκαληνὸς ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος πρὸς ὀρθὰς τῇ βάσει, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ πρὸς ὀρθὰς μὲν τῷ διὰ τοῦ ἄξονος τριγώνῳ, ἀφαιροῦντι δὲ πρὸς τῇ κορυφῇ τρίγωνον ὅμοιον μὲν τῷ διὰ τοῦ

6. τέμνεται τοῦ] bis (in extr. et pr. fol.) V, corr. m. 1. 11. αἱ] (alt.) p, om. V, corr. m. 2 v. 20. τῷ *Α* σημείῳ] sine causa rep. mg. m. rec. V.

concidit. concidat in H, et per AZ planum ducatur. sectio igitur $AB\Gamma$ triangulus erit [prop. III]. et quoniam puncta Δ, H, E in plano secanti sunt, uerum etiam in plano $AB\Gamma$, ΔHE recta est [Eucl. XI, 3]. sumatur igitur in linea ΔE punctum aliquod Θ, et ducta $A\Theta$ producatur. concidet igitur cum ambitu $B\Gamma$. concidat in K, et ducantur $H\Theta$, ZK. et quoniam duo plana parallela ΔE, $B\Gamma$ plano $AB\Gamma$ secantur, communes eorum sectiones parallelae sunt [Eucl. XI, 16]. itaque ΔE rectae $B\Gamma$ parallela est. eadem de causa etiam $H\Theta$ rectae KZ parallela est. itaque [Eucl. VI, 4] $ZA : AH = ZB : \Delta H = Z\Gamma : HE = ZK : H\Theta$. et $BZ = KZ = Z\Gamma$. quare etiam $\Delta H = H\Theta = HE$ [Eucl. V, 9]. iam similiter demonstrabimus, etiam omnes rectas ab H puncto ad lineam ΔE adcidentes inter se aequales esse.

ergo linea ΔE circulus est centrum in axe habens.

et manifestum est, figuram circulo ΔE et superficie conica ab eo abscisa ad A punctum comprehensam conum esse.

et simul demonstratum est, sectionem communem plani secantis triangulique per axem positi diametrum circuli esse.

V.

Si conus obliquus per axem plano ad basim perpendiculari secatur et simul alio plano secatur ad triangulum per axem positum perpendiculari, quod ad uerticem triangulum abscindat triangulo per axem posito similem, sed e contrario positum, sectio circulus erit; adpelletur autem talis sectio contraria.

ἄξονος τριγώνῳ, ὑπεναντίως δὲ κείμενον, ἡ τομὴ κύκλος ἐστί, καλείσθω δὲ ἡ τοιαύτη τομὴ ὑπεναντία.

ἔστω κῶνος σκαληνός, οὗ κορυφὴ μὲν τὸ Α σημεῖον, βάσις δὲ ὁ ΒΓ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος ὀρθῷ πρὸς τὸν ΒΓ κύκλον, καὶ ποιείτω τομὴν τὸ ΑΒΓ τρίγωνον. τετμήσθω δὴ καὶ ἑτέρῳ ἐπιπέδῳ πρὸς ὀρθὰς ὄντι τῷ ΑΒΓ τριγώνῳ, ἀφαιροῦντι δὲ τρίγωνον πρὸς τῷ Α σημείῳ τὸ ΑΚΗ ὅμοιον μὲν τῷ ΑΒΓ τριγώνῳ, ὑπεναντίως δὲ κείμενον, τουτέστιν ὥστε ἴσην εἶναι τὴν ὑπὸ ΑΚΗ γωνίαν τῇ ὑπὸ ΑΒΓ. καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τὴν ΗΘΚ γραμμήν. λέγω, ὅτι κύκλος ἐστὶν ἡ ΗΘΚ γραμμή.

εἰλήφθω γάρ τινα σημεῖα ἐπὶ τῶν ΗΘΚ, ΒΓ γραμμῶν τὰ Θ, Λ, καὶ ἀπὸ τῶν Θ, Λ σημείων ἐπὶ τὸ διὰ τοῦ ΑΒΓ τριγώνου ἐπίπεδον κάθετοι ἤχθωσαν· πεσοῦνται δὴ ἐπὶ τὰς κοινὰς τομὰς τῶν ἐπιπέδων. πιπτέτωσαν ὡς αἱ ΖΘ, ΛΜ. παράλληλος ἄρα ἐστὶν ἡ ΖΘ τῇ ΛΜ. ἤχθω δὴ διὰ τοῦ Ζ τῇ ΒΓ παράλληλος ἡ ΔΖΕ· ἔστι δὲ καὶ ἡ ΖΘ τῇ ΛΜ παράλληλος· τὸ ἄρα διὰ τῶν ΖΘ, ΔΕ ἐπίπεδον παράλληλόν ἐστι τῇ βάσει τοῦ κώνου. κύκλος ἄρα ἐστίν, οὗ διάμετρος ἡ ΔΕ. ἴσον ἄρα τὸ ὑπὸ τῶν ΔΖ, ΖΕ τῷ ἀπὸ τῆς ΖΘ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΕΔ τῇ ΒΓ, ἡ ὑπὸ ΑΔΕ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ΑΒΓ. ἡ δὲ ὑπὸ ΑΚΗ τῇ ὑπὸ ΑΒΓ ὑπόκειται ἴση· καὶ ἡ ὑπὸ ΑΚΗ ἄρα τῇ ὑπὸ ΑΔΕ ἐστιν ἴση. εἰσὶ δὲ καὶ αἱ πρὸς τῷ Ζ σημείῳ ἴσαι [κατὰ κορυφήν]. ὅμοιον ἄρα ἐστὶ τὸ ΔΖΗ τρίγωνον τῷ ΚΖΕ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΕΖ πρὸς τὴν ΖΚ, οὕτως ἡ ΗΖ πρὸς ΖΔ. τὸ ἄρα ὑπὸ τῶν

6. δή] δέ Eutocius. 8. ΑΚΗ] p, ΚΗ V. 27. κατὰ κορυφήν] deleo; κατὰ κορυφὴν γάρ p, in ras. m. 2 v.

sit conus obliquus, cuius uertex sit A punctum, basis autem circulus $B\Gamma$, et per axem secetur plano ad circulum $B\Gamma$ perpendiculari, et hoc sectionem efficiat triangulum $AB\Gamma$ [prop. III]. iam etiam alio plano secetur ad triangulum $AB\Gamma$ perpendiculari, quod ad A punctum abscindat triangulum AKH similem triangulo $AB\Gamma$, sed e contrario positum, h. e. ita ut sit



$$\angle AKH = \angle AB\Gamma.$$

et in superficie efficiat sectionem lineam $H\Theta K$. dico, lineam $H\Theta K$ circulum esse.

sumantur enim in lineis $H\Theta K$, $B\Gamma$ puncta aliqua Θ, Λ, et a punctis Θ, Λ ad planum trianguli $AB\Gamma$ perpendiculares ducantur; cadent igitur ad communes sectiones planorum [Eucl. XI def. 6]. cadant ut $Z\Theta$, ΛM. itaque $Z\Theta$, ΛM parallelae sunt [Eucl. XI, 6]. ducatur igitur per Z rectae $B\Gamma$ parallela ΔZE. uerum etiam $Z\Theta$ rectae ΛM parallela est. itaque planum rectarum $Z\Theta$, ΔE basi coni parallelum est [Eucl. XI, 15]. quare circulus est, cuius diametrus est ΔE [prop. IV]. itaque est [Eucl. VI, 8] $\Delta Z \times ZE = Z\Theta^2$. et quoniam $E\Delta$, $B\Gamma$ parallelae sunt, erit $\angle A\Delta E = \angle AB\Gamma$ [Eucl. I, 29]. uerum supposuimus, esse $\angle AKH = \angle AB\Gamma$; quare etiam $\angle AKH = \angle A\Delta E$. uerum etiam anguli ad Z punctum positi aequales sunt [Eucl. I, 15]. itaque $\Delta ZH \sim KZE$. quare [Eucl. VI, 4]

$$EZ : ZK = HZ : Z\Delta.$$

itaque $EZ \times Z\Delta = KZ \times ZH$ [Eucl. VI, 17].

ΕΖΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν *ΚΖΗ*. ἀλλὰ τῷ ὑπὸ τῶν *ΕΖΔ* ἴσον ἐδείχθη τὸ ἀπὸ τῆς *ΖΘ*· καὶ τὸ ὑπὸ τῶν *ΚΖ*, *ΖΗ* ἄρα ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *ΖΘ*. ὁμοίως δὴ δειχθήσονται καὶ πᾶσαι αἱ ἀπὸ τῆς *ΗΘΚ* γραμμῆς ἐπὶ τὴν *ΗΚ* ἠγμέναι κάθετοι ἴσον δυνάμεναι τῷ ὑπὸ τῶν τμημάτων τῆς *ΗΚ*.

κύκλος ἄρα ἐστὶν ἡ τομή, οὗ διάμετρος ἡ *ΗΚ*.

ϛ′.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, ληφθῇ δέ τι σημεῖον ἐπὶ τῆς τοῦ κώνου ἐπιφανείας, ὃ μή ἐστιν ἐπὶ τῆς πλευρᾶς τοῦ διὰ τοῦ ἄξονος τριγώνου, καὶ ἀπ' αὐτοῦ ἀχθῇ παράλληλος εὐθείᾳ τινί, ἥ ἐστι κάθετος ἀπὸ τῆς περιφερείας τοῦ κύκλου ἐπὶ τὴν βάσιν τοῦ τριγώνου, συμβαλεῖ τῷ διὰ τοῦ ἄξονος τριγώνῳ καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας δίχα τμηθήσεται ὑπὸ τοῦ τριγώνου.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ *Α* σημεῖον, βάσις δὲ ὁ *ΒΓ* κύκλος, καὶ τετμήσθω ὁ κῶνος ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω κοινὴν τομὴν τὸ *ΑΒΓ* τρίγωνον, καὶ ἀπό τινος σημείου τῶν ἐπὶ τῆς *ΒΓ* περιφερείας τοῦ *Μ* κάθετος ἤχθω ἐπὶ τὴν *ΒΓ* ἡ *ΜΝ*. εἰλήφθω δὴ ἐπὶ τῆς ἐπιφανείας τοῦ κώνου σημεῖόν τι τὸ *Δ*, καὶ διὰ τοῦ *Δ* τῇ *ΜΝ* παράλληλος ἤχθω ἡ *ΔΕ*. λέγω, ὅτι ἡ *ΔΕ* ἐκβαλλομένη συμπεσεῖται τῷ ἐπιπέδῳ τοῦ *ΑΒΓ* τριγώνου καὶ προσεκβαλλομένη ἐπὶ τὸ ἕτερον μέρος τοῦ κώνου, ἄχρις ἂν συμπέσῃ τῇ ἐπιφανείᾳ αὐτοῦ, δίχα τμηθήσεται ὑπὸ τοῦ ἐπιπέδου τοῦ *ΑΒΓ* τριγώνου.

1. ἐστί — 2. ἴσον] om. V, corr. p (*ΚΖ*, *ΖΗ* et ΕΖ, ΖΔ). 2. ΖΘ] ΕΘ V; corr. p. 5. *ΗΚ*] p, *ΗΓ* V, corr. m. 2 v. 12. εὐθείᾳ] rep. mg. m. rec. V. 14. σαμβαλεῖ V, sed corr.

demonstrauimus autem, esse $EZ \times Z\Delta = Z\Theta^2$. quare etiam $KZ \times ZH = Z\Theta^2$.

iam similiter demonstrabimus, etiam omnes rectas a linea $H\Theta K$ ad HK perpendiculares ductas quadratas aequales esse rectangulo partium rectae HK.

ergo sectio circulus est, cuius diametrus est HK.

VI.

Si conus plano per axem secatur, et in superficie coni punctum aliquod sumitur, quod in latere trianguli per axem positi non est, et ab eo recta ducitur parallela rectae ab ambitu circuli ad basim trianguli perpendiculari, ea cum triangulo per axem posito concurret et usque ad alteram partem superficiei producta a triangulo in duas partes aequales secabitur.

sit conus, cuius uertex sit A punctum, basis autem $B\Gamma$ circulus, et secetur conus plano per axem, et hoc communem sectionem efficiat $AB\Gamma$ triangulum, et a



puncto M ambitus $B\Gamma$ ad $B\Gamma$ perpendicularis ducatur MN. iam in superficie coni punctum aliquod sumatur Δ, et per Δ rectae MN parallela ducatur ΔE. dico, rectam ΔE productam cum plano trianguli $AB\Gamma$

ἐπεζεύχθω ἡ ΑΔ καὶ ἐκβεβλήσθω· συμπεσεῖται ἄρα τῇ περιφερείᾳ τοῦ ΒΓ κύκλου. συμπιπτέτω κατὰ τὸ Κ, καὶ ἀπὸ τοῦ Κ ἐπὶ τὴν ΒΓ κάθετος ἤχθω ἡ ΚΘΛ· παράλληλος ἄρα ἐστὶν ἡ ΚΘ τῇ ΜΝ· καὶ τῇ ΔΕ ἄρα. ἐπεζεύχθω ἀπὸ τοῦ Α ἐπὶ τὸ Θ ἡ ΑΘ. ἐπεὶ οὖν ἐν τριγώνῳ τῷ ΑΘΚ τῇ ΘΚ παράλληλός ἐστιν ἡ ΔΕ, ἡ ΔΕ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ ΑΘ. ἡ δὲ ΑΘ ἐν τῷ τοῦ ΑΒΓ ἐστιν ἐπιπέδῳ· συμπεσεῖται ἄρα ἡ ΔΕ τῷ τοῦ ΑΒΓ τριγώνου ἐπιπέδῳ. διὰ τὰ αὐτὰ καὶ τῇ ΑΘ συμπίπτει· συμπιπτέτω κατὰ τὸ Ζ, καὶ ἐκβεβλήσθω ἡ ΔΖ ἐπ' εὐθείας, ἄχρις ἂν συμπέσῃ τῇ τοῦ κώνου ἐπιφανείᾳ. συμπιπτέτω κατὰ τὸ Η. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΔΖ τῇ ΖΗ.

ἐπεὶ γὰρ τὰ Α, Η, Λ σημεῖα ἐν τῇ τοῦ κώνου ἐστὶν ἐπιφανείᾳ, ἀλλὰ καὶ ἐν τῷ ἐπιπέδῳ τῷ διὰ τῶν ΑΘ, ΑΚ, ΔΗ, ΚΛ ἐκβαλλομένῳ, ὅπερ διὰ τῆς κορυφῆς τοῦ κώνου τρίγωνόν ἐστι, τὰ Α, Η, Λ ἄρα σημεῖα ἐπὶ τῆς κοινῆς ἐστι τομῆς τῆς τοῦ κώνου ἐπιφανείας καὶ τοῦ τριγώνου. εὐθεῖα ἄρα ἐστὶν ἡ διὰ τῶν Α, Η, Λ. ἐπεὶ οὖν ἐν τριγώνῳ τῷ ΑΛΚ τῇ ΚΘΛ βάσει παράλληλος ἦκται ἡ ΔΗ, καὶ διῆκταί τις ἀπὸ τοῦ Α ἡ ΑΖΘ, ἔστιν ὡς ἡ ΚΘ πρὸς ΘΛ, ἡ ΔΖ πρὸς ΖΗ. ἴση δὲ ἡ ΚΘ τῇ ΘΛ, ἐπείπερ ἐν κύκλῳ τῷ ΒΓ κάθετός ἐστιν ἐπὶ τὴν διάμετρον ἡ ΚΛ. ἴση ἄρα καὶ ἡ ΔΖ τῇ ΖΗ.

ζ'.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ ἐπίπεδον, ἐν ᾧ ἐστιν ἡ βάσις τοῦ κώνου, κατ' εὐθεῖαν πρὸς ὀρθὰς οὖσαν

---

21. ἀπὸ τοῦ] cp, ἀποῦ V. 23. ἐν] ἐκ V; corr. p.

concurrere et ad alteram partem coni productam, donec cum superficie eius concurrat, a plano trianguli $AB\Gamma$ in duas partes aequales secari.

ducatur $A\Delta$ et producatur; concurret igitur cum ambitu circuli $B\Gamma$ [prop. I]. concurrat in K, et a K ad $B\Gamma$ perpendicularis ducatur $K\Theta\Lambda$; itaque $K\Theta$ rectae MN parallela est [Eucl. I, 28]; quare etiam rectae ΔE [Eucl. XI, 9]. ducatur ab A ad Θ recta $A\Theta$. iam quoniam in triangulo $A\Theta K$ rectae ΘK parallela est ΔE, ΔE producta cum $A\Theta$ concurret [Eucl. VI, 2]. uerum $A\Theta$ in plano trianguli $AB\Gamma$ posita est. itaque ΔE cum plano trianguli $AB\Gamma$ concurret.

simul demonstrauimus, eam etiam cum $A\Theta$ concurrere. concurrat in Z, et ΔZ in directum producatur, donec cum superficie coni concurrat. concurrat in H. dico, esse $\Delta Z = ZH$.

nam quoniam puncta A, H, Λ in superficie coni sunt, uerum etiam in plano per $A\Theta$, AK, ΔH, $K\Lambda$ ducto, quod triangulus est per uerticem coni [prop. III], puncta A, H, Λ in communi sectione superficiei coni triangulique sunt. itaque linea per A, H, Λ ducta recta est. iam quoniam in triangulo $A\Lambda K$ basi $K\Theta\Lambda$ parallela ducta est ΔH, et ab A producta est $AZ\Theta$, erit $K\Theta : \Theta\Lambda = \Delta Z : ZH$. est autem $K\Theta = \Theta\Lambda$, quoniam in circulo $B\Gamma$ ad diametrum perpendicularis est $K\Lambda$ [Eucl. III, 3]. ergo etiam $\Delta Z = ZH$.

VII.

Si conus per axem plano secatur et alio quoque plano secatur, quod id planum, in quo est basis coni, secundum rectam secat aut ad basim trianguli per ἤτοι τῇ βάσει τοῦ διὰ τοῦ ἄξονος τριγώνου ἢ τῇ ἐπ' εὐθείας αὐτῇ, αἱ ἀγόμεναι εὐθεῖαι ἀπὸ τῆς γενηθείσης τομῆς ἐν τῇ τοῦ κώνου ἐπιφανείᾳ, ἣν ἐποίησε τὸ τέμνον ἐπίπεδον, παράλληλοι τῇ πρὸς ὀρθὰς τῇ βάσει τοῦ τριγώνου εὐθείᾳ ἐπὶ τὴν κοινὴν τομὴν πεσοῦνται τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου καὶ προσεκβαλλόμεναι ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τμηθήσονται ὑπ' αὐτῆς, καὶ ἐὰν μὲν ὀρθὸς ᾖ ὁ κῶνος, ἡ ἐν τῇ βάσει εὐθεῖα πρὸς ὀρθὰς ἔσται τῇ κοινῇ τομῇ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ διὰ τοῦ ἄξονος τριγώνου, ἐὰν δὲ σκαληνός, οὐκ αἰεὶ πρὸς ὀρθὰς ἔσται, ἀλλ' ὅταν τὸ διὰ τοῦ ἄξονος ἐπίπεδον πρὸς ὀρθὰς ᾖ τῇ βάσει τοῦ κώνου.

ἔστω κῶνος, οὗ κορυφὴ μὲν τὸ A σημεῖον, βάσις δὲ ὁ $B\Gamma$ κύκλος, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιείτω τομὴν τὸ $AB\Gamma$ τρίγωνον. τετμήσθω δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὸ ἐπίπεδον, ἐν ᾧ ἐστιν ὁ $B\Gamma$ κύκλος, κατ' εὐθεῖαν τὴν ΔE ἤτοι πρὸς ὀρθὰς οὖσαν τῇ $B\Gamma$ ἢ τῇ ἐπ' εὐθείας αὐτῇ, καὶ ποιείτω τομὴν ἐν τῇ ἐπιφανείᾳ τοῦ κώνου τὴν ΔZE· κοινὴ δὴ τομὴ τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ $AB\Gamma$ τριγώνου ἡ ZH. καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς ΔZE



1. τοῦ] τῇ V; corr. p. 22. ἤτοι] ἤτ V, ἤτοι mg. m. rec. 27. δή] scripsi; δέ V.

axem positi aut ad eandem productam perpendicularem, rectae a sectione in superficie coni orta, quam planum secans effecit, parallelae ductae rectae ad basim trianguli perpendiculari cadent in communem sectionem plani secantis triangulique per axem positi et ad alteram partem sectionis productae in binas partes aequales ab ea secabuntur, et si conus rectus est, recta in basi posita perpendicularis erit ad communem sectionem plani secantis triangulique per axem positi, sin obliquus est, non semper perpendicularis erit, sed ita tantum, si planum per axem ductum ad basim coni perpendiculare est.

sit conus, cuius uertex sit A punctum, basis autem $B\Gamma$ circulus, et plano per axem secetur, et hoc sectionem faciat triangulum $AB\Gamma$. secetur autem etiam alio plano, quod planum, in quo est circulus $B\Gamma$, secundum rectam ΔE secat aut ad $B\Gamma$ aut ad eandem productam perpendicularem, et hoc in superficie coni sectionem efficiat ΔZE; communis igitur sectio plani secantis triangulique $AB\Gamma$ est ZH. et sumatur in sectione ΔZE punctum aliquod Θ, ducaturque per Θ rectae ΔE parallela ΘK. dico, ΘK cum recta ZH concurrere et ad alteram partem sectionis ΔZE productam a recta ZH in duas partes aequales secari.



τομῆς τὸ *Θ*, καὶ ἤχθω διὰ τοῦ *Θ* τῇ *ΔΕ* παράλληλος ἡ *ΘΚ*. λέγω, ὅτι ἡ *ΘΚ* συμβαλεῖ τῇ *ΖΗ* καὶ ἐκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς *ΔΖΕ* τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς *ΖΗ* εὐθείας.

ἐπεὶ γὰρ κῶνος, οὗ κορυφὴ μὲν τὸ *Α* σημεῖον, βάσις δὲ ὁ *ΒΓ* κύκλος, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος, καὶ ποιεῖ τομὴν τὸ *ΑΒΓ* τρίγωνον, εἴληπται δέ τι σημεῖον ἐπὶ τῆς ἐπιφανείας, ὃ μή ἐστιν ἐπὶ πλευρᾶς τοῦ *ΑΒΓ* τριγώνου, τὸ *Θ*, καί ἐστι κάθετος ἡ *ΔΗ* ἐπὶ τὴν *ΒΓ*, ἡ ἄρα διὰ τοῦ *Θ* τῇ *ΔΗ* παράλληλος ἀγομένη, τουτέστιν ἡ *ΘΚ*, συμβαλεῖ τῷ *ΑΒΓ* τριγώνῳ καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς ἐπιφανείας δίχα τμηθήσεται ὑπὸ τοῦ τριγώνου. ἐπεὶ οὖν ἡ διὰ τοῦ *Θ* τῇ *ΔΕ* παράλληλος ἀγομένη συμβάλλει τῷ *ΑΒΓ* τριγώνῳ καί ἐστιν ἐν τῷ διὰ τῆς *ΔΖΕ* τομῆς ἐπιπέδῳ, ἐπὶ τὴν κοινὴν ἄρα τομὴν πεσεῖται τοῦ τέμνοντος ἐπιπέδου καὶ τοῦ *ΑΒΓ* τριγώνου. κοινὴ δὲ τομή ἐστι τῶν ἐπιπέδων ἡ *ΖΗ*· ἡ ἄρα διὰ τοῦ *Θ* τῇ *ΔΕ* παράλληλος ἀγομένη πεσεῖται ἐπὶ τὴν *ΖΗ*· καὶ προσεκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς *ΔΖΕ* τομῆς δίχα τμηθήσεται ὑπὸ τῆς *ΖΗ* εὐθείας.

ἤτοι δὴ ὁ κῶνος ὀρθός ἐστιν, ἢ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ *ΑΒΓ* ὀρθόν ἐστι πρὸς τὸν *ΒΓ* κύκλον, ἢ οὐδέτερον.

ἔστω πρότερον ὁ κῶνος ὀρθός· εἴη ἂν οὖν καὶ τὸ *ΑΒΓ* τρίγωνον ὀρθὸν πρὸς τὸν *ΒΓ* κύκλον. ἐπεὶ οὖν ἐπίπεδον τὸ *ΑΒΓ* πρὸς ἐπίπεδον τὸ *ΒΓ* ὀρθόν ἐστι, καὶ τῇ κοινῇ αὐτῶν τομῇ τῇ *ΒΓ* ἐν ἑνὶ τῶν ἐπιπέδων τῷ *ΒΓ* πρὸς ὀρθὰς ἦκται ἡ *ΔΕ*, ἡ *ΔΕ* ἄρα τῷ *ΑΒΓ* τριγώνῳ ἐστὶ πρὸς ὀρθάς· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ *ΑΒΓ* nam quoniam conus, cuius uertex est A punctum, basis autem circulus $B\Gamma$, plano per axem secatur, et hoc sectionem efficit triangulum $AB\Gamma$, in superficie autem sumptum est punctum Θ, quod in latere trianguli $AB\Gamma$ non est, et ΔH ad $B\Gamma$ perpendicularis est, recta per Θ rectae ΔH parallela ducta, hoc est ΘK, cum triangulo $AB\Gamma$ concurret et ad alteram partem superficiei producta a triangulo in duas partes aequales secabitur [prop. VI]. iam quoniam recta per Θ rectae ΔE parallela ducta cum triangulo $AB\Gamma$ concurrit et in plano sectionis ΔZE est, in communem sectionem plani secantis triangulique $AB\Gamma$ cadet. communis autem planorum sectio est ZH; itaque recta per Θ rectae ΔE parallela ducta in ZH cadet; et ad alteram partem sectionis ΔZE producta a recta ZH in duas partes aequales secabitur.

iam igitur aut rectus est conus, aut triangulus $AB\Gamma$ per axem positus ad circulum $B\Gamma$ perpendicularis est, aut neutrum.

prius conus rectus sit. itaque etiam triangulus $AB\Gamma$ ad circulum $B\Gamma$ perpendicularis est [def. 3; Eucl. XI, 18]. quoniam igitur planum $AB\Gamma$ ad planum $B\Gamma$ perpendiculare est, et in plano altero $B\Gamma$ ad communem eorum sectionem $B\Gamma$ perpendicularis ducta est ΔE, ΔE ad triangulum $AB\Gamma$ perpendicularis est [Eucl. XI def. 4]. quare etiam ad omnes rectas eam tangentes et in triangulo $AB\Gamma$ positas perpendicularis est [Eucl. XI def. 3]. ergo etiam ad ZH perpendicularis est.

τριγώνῳ ὀρθή ἐστιν. ὥστε καὶ πρὸς τὴν ZH ἐστι πρὸς ὀρθάς.

μὴ ἔστω δὴ ὁ κῶνος ὀρθός. εἰ μὲν οὖν τὸ διὰ τοῦ ἄξονος τρίγωνον ὀρθόν ἐστι πρὸς τὸν $B\Gamma$ κύκλον, ὁμοίως δείξομεν, ὅτι καὶ ἡ ΔE τῇ ZH ἐστι πρὸς ὀρθάς. μὴ ἔστω δὴ τὸ διὰ τοῦ ἄξονος τρίγωνον τὸ $AB\Gamma$ ὀρθὸν πρὸς τὸν $B\Gamma$ κύκλον. λέγω, ὅτι οὐδὲ ἡ ΔE τῇ ZH ἐστι πρὸς ὀρθάς. εἰ γὰρ δυνατόν, ἔστω· ἔστι δὲ καὶ τῇ $B\Gamma$ πρὸς ὀρθάς· ἡ ἄρα ΔE ἑκατέρᾳ τῶν $B\Gamma$, ZH ἐστι πρὸς ὀρθάς. καὶ τῷ διὰ τῶν $B\Gamma$, ZH ἐπιπέδῳ ἄρα πρὸς ὀρθὰς ἔσται. τὸ δὲ διὰ τῶν $B\Gamma$, HZ ἐπίπεδόν ἐστι τὸ $AB\Gamma$· καὶ ἡ ΔE ἄρα τῷ $AB\Gamma$ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς. καὶ πάντα ἄρα τὰ δι' αὐτῆς ἐπίπεδα τῷ $AB\Gamma$ τριγώνῳ ἐστὶ πρὸς ὀρθάς. ἓν δέ τι τῶν διὰ τῆς ΔE ἐπιπέδων ἐστὶν ὁ $B\Gamma$ κύκλος· ὁ $B\Gamma$ ἄρα κύκλος πρὸς ὀρθάς ἐστι τῷ $AB\Gamma$ τριγώνῳ. ὥστε καὶ τὸ $AB\Gamma$ τρίγωνον ὀρθὸν ἔσται πρὸς τὸν $B\Gamma$ κύκλον· ὅπερ οὐχ ὑπόκειται. οὐκ ἄρα ἡ ΔE τῇ ZH ἐστι πρὸς ὀρθάς.

πόρισμα.

ἐκ δὴ τούτου φανερόν, ὅτι τῆς ΔZE τομῆς διάμετρός ἐστιν ἡ ZH, ἐπείπερ τὰς ἀγομένας παραλλήλους εὐθείᾳ τινὶ τῇ ΔE δίχα τέμνει, καὶ ὅτι δυνατόν ἐστιν ὑπὸ τῆς διαμέτρου τῆς ZH παραλλήλους τινὰς δίχα τέμνεσθαι καὶ μὴ πρὸς ὀρθάς.

η'.

Ἐὰν κῶνος ἐπιπέδῳ τμηθῇ διὰ τοῦ ἄξονος, τμηθῇ δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου

1. ὥστε] ὥστ V. 3. τό] bis V in extr. et init. pag.; corr. cvp. 16. ὥστε] ὥστ V, ὥστε mg. m. rec. 20. πόρισμα] p, om. V.

$$\text{[Eucl. VI,4]} = E\varTheta \times \varTheta\varDelta : \varDelta\varTheta \times \varTheta\varLambda = \varPi\varSigma \times \varSigma O : O\varSigma^2$$

[ib.]. et est

$$E\varTheta \times \varTheta\varDelta = \varPi\varSigma \times \varSigma O.$$

quare [Eucl. V, 9]

$$\varDelta\varTheta \times \varTheta\varLambda = O\varSigma^2 = H\varTheta^2.$$

ergo $H\varTheta$ quadrata aequalis est rectangulo $\varDelta\varLambda$ ad $\varDelta Z$ adplicato, quod deficit figura $Z\varLambda$ rectangulo $E\varDelta \times \varDelta Z$ simili.

iam dico, $\varTheta H$ ad alteram partem sectionis productam a $\varDelta E$ in duas partes aequales secari.

producatur enim et cum sectione in $\varPhi$ concurrat, per $\varPhi$ autem rectae $H\varXi$ parallela ducatur $\varPhi X$, per X autem rectae AN parallela ducatur $X\varPsi$. et quoniam est $H\varXi = \varPhi X$ [Eucl. I, 34], erit etiam $H\varXi^2 = \varPhi X^2$. uerum

$$H\varXi^2 = A\varXi \times \varXi O,\ \varPhi X^2 = AX \times X\varPsi \text{ [prop. XIII].}$$

itaque [Eucl. VI, 16]

$$O\varXi : \varPsi X = XA : A\varXi.$$

et $O\varXi : \varPsi X = \varXi B : BX$ [Eucl. VI, 4]. quare etiam $XA : A\varXi = \varXi B : BX$. et subtrahendo $X\varXi : \varXi A = X\varXi : XB$ [Eucl. V, 17]. itaque $A\varXi = XB$ [Eucl. V, 9]. est

---

τὸ α′ δι... τοῦ ϛ′ϛ′. 8. ϛϛ διὰ τὸ δ′ τοῦ ϛ′ καὶ τὸ α′ mg. m. 1 V. 14. $\varTheta H$] $\varTheta N$ V; corr. p ($H\varTheta$).

ἴση· ὥστε καὶ ἡ ΗΘ τῇ ΘΦ. ἡ ἄρα ΘΗ ἐκβαλλομένη ἕως τοῦ ἑτέρου μέρους τῆς τομῆς δίχα τέμνεται ὑπὸ τῆς ΔΘ.

ις΄.

Ἐὰν διὰ τῆς διχοτομίας τῆς πλαγίας πλευρᾶς τῶν ἀντικειμένων ἀχθῇ τις εὐθεῖα παρὰ τεταγμένως κατηγμένην, διάμετρος ἔσται τῶν ἀντικειμένων συζυγὴς τῇ προϋπαρχούσῃ διαμέτρῳ.

ἔστωσαν ἀντικείμεναι, ὧν διάμετρος ἡ ΑΒ, καὶ τετμήσθω δίχα ἡ ΑΒ κατὰ τὸ Γ, καὶ διὰ τοῦ Γ ἤχθω παρὰ τεταγμένως κατηγμένην ἡ ΓΔ. λέγω, ὅτι διάμετρός ἐστιν ἡ ΓΔ συζυγὴς τῇ ΑΒ.

ἔστωσαν γὰρ παρ' ἃς δύνανται αἱ καταγόμεναι αἱ ΑΕ, ΒΖ εὐθεῖαι, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΖ, ΒΕ ἐκβεβλήσθωσαν, καὶ εἰλήφθω τι ἐπὶ τῆς ἑτέρας τῶν τομῶν τυχὸν σημεῖον τὸ Η, καὶ διὰ μὲν τοῦ Η τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΗΘ, ἀπὸ δὲ τῶν Η, Θ κατήχθωσαν τεταγμένως αἱ ΗΚ, ΘΛ, διὰ δὲ τῶν Κ, Λ ταῖς ΑΕ, ΒΖ παράλληλοι ἤχθωσαν αἱ ΚΜ, ΛΝ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΗΚ τῇ ΘΛ, ἴσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΚ τῷ ἀπὸ τῆς ΘΛ. ἀλλὰ τὸ μὲν ἀπὸ τῆς ΗΚ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΚΜ, τὸ δὲ ἀπὸ τῆς ΘΛ ἴσον τῷ ὑπὸ τῶν ΒΛΝ· τὸ ἄρα ὑπὸ ΑΚΜ ἴσον ἐστὶ τῷ ὑπὸ ΒΛΝ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΕ τῇ ΒΖ, ἔστιν ἄρα, ὡς ἡ ΑΕ πρὸς ΑΒ, οὕτως ἡ ΒΖ πρὸς ΒΑ. ἀλλ' ὡς μὲν ἡ ΑΕ πρὸς ΑΒ, οὕτως ἡ ΜΚ πρὸς ΚΒ, ὡς δὲ ἡ ΖΒ πρὸς ΒΑ, οὕτως ἡ ΝΛ πρὸς ΛΑ. καὶ ὡς ἄρα ἡ ΜΚ πρὸς ΚΒ, οὕτως

1. ἡ] (pr.) p, om. V. 4. ις΄] p, om. V, m. 2 v. 6. παρατεταγμένως κατηγμένη V; corr. Halley. 11. παρατεταγμένως κατηγμένη V; corr. Halley. 21. ἴσον] om. V; corr. p.

autem etiam $A\Gamma = \Gamma B$. quare etiam $\Xi\Gamma = \Gamma X$. itaque etiam $H\Theta = \Theta\Phi$. ergo ΘH ad alteram partem sectionis producta in duas partes aequales secatur a $\Delta\Theta$.

XVI.

Si per punctum medium lateris transuersi oppositarum recta rectae ordinate ductae parallela ducitur, diametrus erit oppositarum cum diametro proposita coniugata.

sint oppositae, quarum diametrus sit AB, et AB in Γ in duas partes aequales secetur, per Γ autem rectae ordinate ductae parallela ducatur $\Gamma\Delta$. dico, $\Gamma\Delta$ diametrum esse cum diametro AB coniugatam.

sint enim parametri rectae AE, BZ, et ductae AZ, BE producantur, sumaturque in alterutra sectione quoduis punctum H, et per H rectae AB parallela ducatur $H\Theta$, ab H, Θ autem ordinate ducantur HK, $\Theta\Lambda$, per K, Λ autem rectis AE, BZ parallelae ducantur KM, ΛN. quoniam igitur



$$HK = \Theta\Lambda \text{ [Eucl. I, 34]},$$

erit etiam $HK^2 = \Theta\Lambda^2$. est autem

$$HK^2 = AK \times KM,$$

$$\Theta\Lambda^2 = B\Lambda \times \Lambda N \text{ [prop. XII; Eucl. I, 34]}.$$

quare $AK \times KM = B\Lambda \times \Lambda N$. et quoniam $AE = BZ$ [prop. XIV], erit

$$AE : AB = BZ : B\Lambda \text{ [Eucl. V, 9]}.$$

---

22. AKM — τῶν] om. V; corr. p ($K\Lambda$, AE; corr. Memus). 23. διὰ τοῦ λδ' τοῦ α' τῶν στοιχείων mg. m. 1 V. 19. ἐστίν] c, -ίν in ras. m. 1 V. 25. BZ] c, B eras. V; ZB p.

ἡ ΝΔ πρὸς τὴν ΔΑ. ἀλλ' ὡς ἡ ΜΚ πρὸς τὴν ΚΒ, τῆς ΚΑ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΜΚΑ πρὸς τὸ ὑπὸ ΒΚΑ, ὡς δὲ ἡ ΝΔ πρὸς ΔΑ, τῆς ΒΔ κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ ΝΔΒ πρὸς τὸ ὑπὸ ΑΔΒ. καὶ ὡς ἄρα τὸ ὑπὸ ΜΚΑ πρὸς τὸ ὑπὸ ΒΚΑ, οὕτως τὸ ὑπὸ ΝΔΒ πρὸς τὸ ὑπὸ ΑΔΒ. καὶ ἐναλλάξ, ὡς τὸ ὑπὸ ΜΚΑ πρὸς τὸ ὑπὸ ΝΔΒ, οὕτως τὸ ὑπὸ ΒΚΑ προς τὸ ὑπὸ ΑΔΒ. καί ἐστιν ἴσον τὸ ὑπὸ ΜΚΑ τῷ ὑπὸ ΝΔΒ· ἴσον ἄρα ἐστὶ καὶ τὸ ὑπὸ ΒΚΑ τῷ ὑπὸ ΑΔΒ· ἴση ἄρα ἡ ΑΚ τῇ ΔΒ. ἔστι δὲ καὶ ἡ ΑΓ τῇ ΓΒ ἴση· καὶ ὅλη ἄρα ἡ ΚΓ ὅλῃ τῇ ΓΔ ἴση ἐστίν· ὥστε καὶ ἡ ΗΞ τῇ ΞΘ. ἡ ΗΘ ἄρα δίχα τέτμηται ὑπὸ τῆς ΞΓΔ· καί ἐστι παράλληλος τῇ ΑΒ· διάμετρος ἄρα ἐστὶ καὶ ἡ ΞΓΔ συζυγὴς τῇ ΑΒ.

ὅροι β'.

Τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως ἑκατέρας ἡ διχοτομία τῆς διαμέτρου κέντρον τῆς τομῆς καλείσθω, η δὲ ἀπὸ τοῦ κέντρου πρὸς τὴν τομὴν προσπίπτουσα ἐκ τοῦ κέντρου τῆς τομῆς.

ὁμοίως δὲ καὶ τῶν ἀντικειμένων ἡ διχοτομία τῆς πλαγίας πλευρᾶς κέντρον καλείσθω.

ἡ δὲ ἀπὸ τοῦ κέντρου ἠγμένη παρὰ τεταγμένως κατηγμένην μέσον τε λόγον ἔχουσα τῶν τοῦ εἴδους πλευρῶν καὶ δίχα τεμνομένη ὑπὸ τοῦ κέντρου δευτέρα διάμετρος καλείσθω.

3. ΝΔ] cv, ΝΔ uel ΜΔ V, ΚΔ p. 10. ἄρα] ἄρα καί cp, ἄρα ἐστίν Eutocius. 13. ΞΓΔ] cv, Γ ins. m. 1 V; ΔΓΞ p. 21. ἀντιτικειμένων V; corr. cvp. 23. παρατεταγμένως V, ut uulgo.

uerum $\varDelta E : \varDelta B = MK : KB$, $ZB : B\varDelta = N\varDelta : \varDelta\varDelta$ [Eucl. VI, 4]. itaque etiam

$$MK : KB = N\varDelta : \varDelta\varDelta.$$

est autem communi altitudine sumpta $K\varDelta$

$$MK : KB = MK \times K\varDelta : BK \times K\varDelta,$$

et communi altitudine $B\varDelta$ sumpta

$$N\varDelta : \varDelta\varDelta = N\varDelta \times \varDelta B : \varDelta\varDelta \times \varDelta B.$$

quare etiam

$$MK \times K\varDelta : BK \times K\varDelta = N\varDelta \times \varDelta B : \varDelta\varDelta \times \varDelta B.$$

et permutando

$$MK \times K\varDelta : N\varDelta \times \varDelta B = BK \times K\varDelta : \varDelta\varDelta \times \varDelta B$$

[Eucl. V, 16]. et

$$MK \times K\varDelta = N\varDelta \times \varDelta B.$$

quare etiam $BK \times K\varDelta = \varDelta\varDelta \times \varDelta B$. itaque $\varDelta K = \varDelta B$ [u. Eutocius]. uerum etiam $\varDelta\Gamma = \Gamma B$. quare est $K\Gamma = \Gamma\varDelta$. quare etiam $H\Xi = \Xi\Theta$ [Eucl. I, 34]. itaque $H\Theta$ a $\Xi\Gamma\varDelta$ in duas partes aequales secta est; et rectae $\varDelta B$ parallela est. ergo etiam $\Xi\Gamma\varDelta$ diametrus est et cum diametro $\varDelta B$ coniugata [def. 6].

Definitiones alterae.

1. Et in hyperbola et in ellipsi punctum medium diametri centrum sectionis uocetur, recta autem a centro ad sectionem ducta radius sectionis.

2. et similiter etiam in oppositis punctum medium lateris transuersi centrum uocetur.

3. recta autem a centro rectae ordinate ductae parallela ducta, quae et mediam rationem habet laterum figurae et a centro in duas partes aequales secatur, diametrus altera uocetur.

ιζ'.

'Εὰν ἐν κώνου τομῇ ἀπὸ τῆς κορυφῆς τῆς γραμμῆς ἀχθῇ εὐθεῖα παρὰ τεταγμένως κατηγμένην, ἐκτὸς πεσεῖται τῆς τομῆς.

ἔστω κώνου τομή, ἧς διάμετρος ἡ ΑΒ. λέγω, ὅτι ἡ ἀπὸ τῆς κορυφῆς, τουτέστι τοῦ Α σημείου, παρὰ τεταγμένως κατηγμένην ἀγομένη εὐθεῖα ἐκτὸς πεσεῖται τῆς τομῆς.

εἰ γὰρ δυνατόν, πιπτέτω ἐντὸς ὡς ἡ ΑΓ. ἐπεὶ οὖν ἐν κώνου τομῇ εἴληπται τυχὸν σημεῖον τὸ Γ, ἡ ἄρα ἀπὸ τοῦ Γ σημείου ἐντὸς τῆς τομῆς ἀγομένη παρὰ τεταγμένως κατηγμένην συμβαλεῖ τῇ ΑΒ διαμέτρῳ καὶ δίχα τμηθήσεται ὑπ' αὐτῆς. ἡ ΑΓ ἄρα ἐκβαλλομένη δίχα τμηθήσεται ὑπὸ τῆς ΑΒ· ὅπερ ἄτοπον· ἐκβαλλομένη γὰρ ἡ ΑΓ ἐκτὸς πίπτει τῆς τομῆς. οὐκ ἄρα ἡ ἀπο τοῦ Α σημείου παρὰ τεταγμένως κατηγμένην ἀγομένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς γραμμῆς· ἐκτὸς ἄρα πεσεῖται· διόπερ ἐφάπτεται τῆς τομῆς.

ιη'.

'Εὰν κώνου τομῇ εὐθεῖα συμπίπτουσα ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτος πίπτῃ τῆς τομῆς, ληφθῇ δέ τι σημεῖον ἐντὸς τῆς τομῆς, καὶ δι' αὐτοῦ παράλληλος ἀχθῇ τῇ συμπιπτούσῃ, ἡ ἀχθεῖσα ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

ἔστω κώνου τομὴ καὶ συμπίπτουσα αὐτῇ ἡ ΑΖΒ εὐθεῖα, καὶ ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς, καὶ εἰλήφθω τι σημεῖον ἐντὸς τῆς τομῆς τὸ Γ, καὶ διὰ τοῦ Γ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΓΔ.

---

1. ιζ'] p, om. V, m. 2 v. 9. ΑΓ] cvp, Α e corr. m. 1 V. 19. ιη'] p, om. V, m. 2 v.

XVII.

Si in sectione coni a uertice lineae recta rectae ordinate ductae parallela ducitur, extra sectionem cadet.

sit coni sectio, cuius diametrus sit AB. dico, rectam a uertice, hoc est a puncto A, rectae ordinate ductae parallelam ductam extra sectionem cadere.



nam si fieri potest, intra cadat ut $A\Gamma$. iam quoniam in coni sectione sumptum est punctum aliquod Γ, recta a Γ puncto intra sectionem ducta rectae ordinate ductae parallela cum diametro AB concurret et ab ea in duas partes aequales secabitur [prop. VII]. itaque $A\Gamma$ producta ab AB in duas partes aequales secabitur; quod fieri non postet; producta enim $A\Gamma$ extra sectionem cadit [prop. X]. itaque recta ab A puncto rectae ordinate ductae parallela ducta intra lineam non cadet. ergo extra cadet; quare sectionem contingit.

XVIII.

Si recta cum coni sectione concurrens in utramque partem producta extra sectionem cadit, et intra sectionem punctum aliquod sumitur, et per hoc rectae concurrenti parallela ducitur recta, recta ita ducta in utramque partem producta cum sectione concurret.

sit coni sectio et cum ea concurrens recta AZB, et in utramque partem producta extra sectionem cadat, λέγω, ὅτι ἡ ΓΔ ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΕΖ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ, καὶ τῇ ΑΒ συμπίπτει τις εὐθεῖα ἡ ΕΖ, καὶ ἡ ΓΔ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ ΕΖ. καὶ εἰ μὲν μεταξὺ τῶν Ε, Ζ, φανερόν, ὅτι καὶ τῇ τομῇ συμπίπτει, ἐὰν δὲ ἐκτὸς τοῦ Ε σημείου, πρότερον τῇ τομῇ συμπεσεῖται. ἡ ἄρα ΓΔ ἐκβαλλομένη ὡς ἐπὶ τὰ Δ, Ε μέρη συμπίπτει τῇ τομῇ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ ὡς ἐπὶ τὰ Ζ, Β ἐκβαλλομένη συμπίπτει. ἡ ΓΔ ἄρα ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

ιθ'.

Ἐν πάσῃ κώνου τομῇ, ἥτις ἂν ἀπὸ τῆς διαμέτρου παρὰ τεταγμένως κατηγμένην ἀχθῇ, συμπεσεῖται τῇ τομῇ.



ἔστω κώνου τομή, ἧς διάμετρος ἡ ΑΒ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς διαμέτρου τὸ Β, καὶ διὰ τοῦ Β παρὰ τεταγμένως κατηγμένην ἤχθω ἡ ΒΓ. λέγω, ὅτι ἡ ΒΓ ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ.

εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Δ· ἔστι δὲ καὶ τὸ Α ἐπὶ τῆς τομῆς· ἡ ἄρα ἀπὸ τοῦ Α ἐπὶ τὸ Δ ἐπιζευγνυμένη εὐθεῖα ἐντὸς πεσεῖται τῆς τομῆς. καὶ ἐπεὶ ἡ ἀπὸ τοῦ Α παρὰ τεταγμένως κατηγμένην ἀγομένη εὐθεῖα ἐκτὸς πίπτει τῆς τομῆς, καὶ

---

11. ἐμπίπτει V; corr. p. 13. ιθ'] p, om. V, m. 2 v.

et intra sectionem punctum aliquod Γ sumatur, et per Γ rectae AB parallela ducatur $\Gamma\Delta$. dico, $\Gamma\Delta$ in utramque partem productam cum sectione concurrere.

sumatur enim in sectione punctum aliquod E, et ducatur EZ. et quoniam AB rectae $\Gamma\Delta$ parallela



est, et cum AB recta EZ concurrit, etiam $\Gamma\Delta$ producta cum EZ concurret. et siue inter E, Z concurrit, manifestum est, eam etiam cum sectione concurrere, siue extra punctum E, prius cum sectione concurret. itaque $\Gamma\Delta$ ad partes Δ, E uersus producta cum sectione concurrit. similiter demonstrabimus, eam etiam ad Z, B uersus productam concurrere. ergo $\Gamma\Delta$ in utramque partem producta cum sectione concurret.

XIX.

In qualibet coni sectione recta, quaecunque a diametro rectae ordinate ductae parallela ducitur, cum sectione concurret.

sit coni sectio, cuius diametrus sit AB, et in diametro punctum aliquod B sumatur, et per B rectae ordinate ductae parallela ducatur $B\Gamma$. dico, $B\Gamma$ productam cum sectione concurrere.

sumatur enim in sectione punctum aliquod Δ; uerum etiam A in sectione est; itaque recta ab A ad Δ ducta intra sectionem cadet [prop. X]. et quoniam

In figura priore litteras A, B permutaui, altera in prop. 19 hab. V, sed numerus 18 (e corr.) additus ei est.

συμπίπτει αὐτῇ ἡ ΑΔ, καί ἐστι τῇ κατηγμένῃ παράλληλος ἡ ΒΓ, καὶ ἡ ΒΓ ἄρα συμπεσεῖται τῇ ΑΔ. καὶ εἰ μὲν μεταξὺ τῶν Α, Δ σημείων, φανερόν, ὅτι καὶ τῇ τομῇ συμπεσεῖται, εἰ δὲ ἐκτὸς τοῦ Δ ὡς κατὰ τὸ Ε, πρότερον τῇ τομῇ συμπεσεῖται. ἡ ἄρα ἀπὸ τοῦ Β παρα τεταγμένως κατηγμένην ἀγομένη εὐθεῖα συμπεσεῖται τῇ τομῇ.

κ'.

Ἐὰν ἐν παραβολῇ ἀπὸ τῆς τομῆς καταχθῶσι δύο εὐθεῖαι ἐπὶ τὴν διάμετρον τεταγμένως, ἔσται ὡς τὰ ἀπ' αὐτῶν τετράγωνα πρὸς ἄλληλα, οὕτως αἱ ἀποτεμνόμεναι ὑπ' αὐτῶν ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς.

ἔστω παραβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ εἰλήφθω τινὰ σημεῖα ἐπ' αὐτῆς τὰ Γ, Δ, καὶ ἀπὸ τῶν Γ, Δ τεταγμένως κατήχθωσαν ἐπὶ τὴν ΑΒ αἱ ΓΕ, ΔΖ. λέγω, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ ΔΖ πρὸς τὸ ἀπὸ ΓΕ, οὕτως ἡ ΖΑ πρὸς ΑΕ.

ἔστω γὰρ παρ' ἣν δύνανται αἱ καταγόμεναι ἡ ΑΗ· ἴσον ἄρα ἐστὶ τὸ μὲν ἀπὸ τῆς ΔΖ τῷ ὑπὸ ΖΑΗ, τὸ δὲ ἀπὸ τῆς ΓΕ τῷ ὑπὸ τῶν ΕΑΗ. ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΔΖ πρὸς τὸ ἀπὸ ΓΕ, οὕτως τὸ ὑπὸ ΖΑΗ πρὸς τὸ ὑπὸ ΕΑΗ. ὡς δὲ τὸ ὑπὸ ΖΑΗ πρὸς τὸ ὑπὸ ΕΑΗ, οὕτως ἡ ΖΑ πρὸς ΑΕ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΔΖ πρὸς τὸ ἀπὸ ΓΕ, οὕτως ἡ ΖΑ πρὸς ΑΕ.

κα'.

Ἐὰν ἐν ὑπερβολῇ ἢ ἐλλείψει ἢ κύκλου περιφερείᾳ εὐθεῖαι ἀχθῶσι τεταγμένως ἐπὶ τὴν διάμετρον, ἔσται

7. κ'] p, om. V, m. 2 v. 25. κα'] p, om. V, m. 2 v. 26. ἢ] (alt.) ἡ V; corr. p. περιφέρεια V; corr. p.

recta ab A rectae ordinate ductae parallela ducta extra sectionem cadit [prop XVII], et cum illa concurrit $A\Delta$, et $B\Gamma$ rectae ordinate ductae parallela est, etiam $B\Gamma$ cum $A\Delta$ concurret. et siue inter puncta A, Δ concurrit, manifestum est, eam etiam cum sectione concurrere, siue extra Δ concurrit ut in E, prius cum sectione concurret. ergo recta a B rectae ordinate ductae parallela ducta cum sectione concurret.

XX.

Si in parabola a sectione duae rectae ad diametrum ordinate ducuntur, erunt, ut quadrata earum inter se, ita rectae ab iis e diametro ad uerticem sectionis abscisae.



sit parabola, cuius diametrus sit AB, et in ea puncta aliqua sumantur Γ, Δ, et a Γ, Δ ad AB ordinate ducantur ΓE, ΔZ. dico, esse

$$\Delta Z^2 : \Gamma E^2 = ZA : AE.$$

sit enim parametrus AH. est igitur [prop. XI] $\Delta Z^2 = ZA \times AH$, $\Gamma E^2 = EA \times AH$. quare

$$\Delta Z^2 : \Gamma E^2 = ZA \times AH : EA \times AH.$$

est autem

$$ZA \times AH : EA \times AH = ZA : AE.$$

ergo etiam $\Delta Z^2 : \Gamma E^2 = ZA : AE$.

XXI.

Si in hyperbola uel ellipsi uel ambitu circuli rectae ad diametrum ordinate ducuntur, quadrata earum ad spatia comprehensa rectis ab iis ad terminos lateris τὰ ἀπ' αὐτῶν τετράγωνα πρὸς μὲν τὰ περιεχόμενα χωρία ὑπὸ τῶν ἀπολαμβανομένων ὑπ' αὐτῶν πρὸς τοῖς πέρασι τῆς πλαγίας πλευρᾶς τοῦ εἴδους ὡς τοῦ εἴδους ἡ ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν, πρὸς ἄλληλα δέ, ὡς τὰ περιεχόμενα χωρία ὑπὸ τῶν, ὡς εἴρηται, ἀπολαμβανομένων εὐθειῶν.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος μὲν ἡ *ΑΒ*, παρ' ἣν δὲ δύνανται αἱ καταγόμεναι ἡ *ΑΓ*, καὶ κατήχθωσαν ἐπὶ τὴν διάμετρον τεταγμένως αἱ *ΔΕ*, *ΖΗ*. λέγω, ὅτι ἐστίν, ὡς μὲν τὸ ἀπὸ τῆς *ΖΗ* πρὸς τὸ ὑπὸ τῶν *ΑΗΒ*, οὕτως ἡ *ΑΓ* πρὸς *ΑΒ*, ὡς δὲ τὸ ἀπὸ τῆς *ΖΗ* πρὸς τὸ ἀπὸ τῆς *ΔΕ*, οὕτω τὸ ὑπὸ τῶν *ΑΗΒ* πρὸς τὸ ὑπὸ τῶν *ΑΕΒ*.

ἐπεζεύχθω γὰρ ἡ *ΒΓ* διορίζουσα τὸ εἶδος, καὶ διὰ τῶν *Ε*, *Η* τῇ *ΑΓ* παράλληλοι ἤχθωσαν αἱ *ΕΘ*, *ΗΚ*· ἴσον ἄρα ἐστὶ τὸ μὲν ἀπὸ τῆς *ΖΗ* τῷ ὑπὸ *ΚΗΑ*, τὸ δὲ ἀπὸ τῆς *ΔΕ* τῷ ὑπὸ *ΘΕΑ*. καὶ ἐπεί ἐστιν, ὡς ἡ *ΚΗ* πρὸς *ΗΒ*, οὕτως ἡ *ΓΑ* πρὸς *ΑΒ*, ὡς δὲ ἡ *ΚΗ* πρὸς *ΗΒ*, τῆς *ΑΗ* κοινοῦ ὕψους λαμβανομένης οὕτως τὸ ὑπὸ *ΚΗΑ* πρὸς τὸ ὑπὸ *ΒΗΑ*, ὡς ἄρα ἡ *ΓΑ* πρὸς *ΑΒ*, οὕτως τὸ ὑπὸ *ΚΗΑ*, τουτέστι τὸ ἀπὸ *ΖΗ*, πρὸς τὸ ὑπὸ *ΒΗΑ*. διὰ τὰ αὐτὰ δή ἐστι καί, ὡς τὸ ἀπὸ *ΔΕ* πρὸς τὸ ὑπὸ *ΒΕΑ*, οὕτως ἡ *ΓΑ* πρὸς *ΑΒ*. καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς *ΖΗ* πρὸς τὸ ὑπὸ *ΒΗΑ*, οὕτως τὸ ἀπὸ *ΔΕ* πρὸς τὸ ὑπὸ *ΒΕΑ*· ἐναλλάξ, ὡς τὸ ἀπὸ *ΖΗ* πρὸς τὸ ἀπὸ *ΔΕ*, οὕτως τὸ ὑπὸ *ΒΗΑ* πρὸς τὸ ὑπὸ *ΒΕΑ*.

---

2. *ὑπολαμβανομένων* V; corr. p. 7. *ἤ*] *ἡ* V; corr. p. *ἤ*] *ἡ* V; corr. p. 10. *μέν*] cp, supra scr. m. 1 V. 14. *ΒΓ*] *ΗΒΓ* V; corr. p. 16. *ΚΗΑ*] *ΚΑΗ* V; corr. Memus. 22. *τά*] om. V; corr. p. 23. *ἡ*] p, om. V in extr. lin. 24. *πρός*] *π* in ras. m. 1 V. 27. *ΒΕΑ*] *ΒΕ*, *ΕΑ* V; corr. Memus.

transuersi figurae abscisis rationem habent, quam latus rectum figurae ad transuersum, inter se autem, quam spatia comprehensa rectis, uti diximus, abscisis.



sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, parametrus autem $A\Gamma$, et ad diametrum ordinate ducantur ΔE, ZH. dico, esse

$$ZH^2 : AH \times HB = A\Gamma : AB,$$
$$ZH^2 : \Delta E^2 = AH \times HB : AE \times EB.$$

ducatur enim $B\Gamma$ diagonalis figurae, et per E, H rectae $A\Gamma$ parallelae ducantur $E\Theta$, HK. est igitur [prop. XII—XIII; de circulo u. Eutocius] $ZH^2 = KH \times HA$, $\Delta E^2 = \Theta E \times EA$. et quoniam est $KH : HB = \Gamma A : AB$ [Eucl. VI, 4], et AH communi altitudine sumpta

$$KH : HB = KH \times HA : BH \times HA,$$

erit

$$\Gamma A : AB = KH \times HA : BH \times HA = ZH^2 : BH \times HA.$$

iam eodem modo erit $\Delta E^2 : BE \times EA = \Gamma A : AB$. quare etiam $ZH^2 : BH \times HA = \Delta E^2 : BE \times EA$. et permutando [Eucl. V, 16]

$$ZH^2 : \Delta E^2 = BH \times HA : BE \times EA.$$

κβ'.

Ἐὰν παραβολὴν ἢ ὑπερβολὴν εὐθεῖα τέμνῃ κατα δύο σημεῖα μὴ συμπίπτουσα τῇ διαμέτρῳ ἐντός, ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ τῆς τομῆς ἐκτὸς τῆς τομῆς.

ἔστω παραβολὴ ἢ ὑπερβολή, ἧς διάμετρος ἡ AB, καὶ τεμνέτω τις εὐθεῖα τὴν τομὴν κατὰ δύο σημεῖα τὰ $Γ$, $Δ$. λέγω, ὅτι ἡ $ΓΔ$ ἐκβαλλομένη συμπεσεῖται ἐκτὸς τῆς τομῆς τῇ AB.

κατήχθωσαν ἀπὸ τῶν $Γ$, $Δ$ τεταγμένως αἱ $ΓE$, $ΔB$· ἔστω δὲ πρῶτον ἡ τομὴ παραβολή. ἐπεὶ οὖν ἐν τῇ παραβολῇ ἐστιν, ὡς τὸ ἀπὸ τῆς $ΓE$ πρὸς τὸ ἀπὸ τῆς $ΔB$, οὕτως ἡ EA πρὸς AB, μείζων δὲ ἡ AE τῆς AB, μεῖζον ἄρα καὶ τὸ ἀπὸ τῆς $ΓE$ τοῦ ἀπὸ τῆς $ΔB$. ὥστε καὶ ἡ $ΓE$ τῆς $ΔB$ μείζων ἐστί. καί εἰσι παράλληλοι· ἡ $ΓΔ$ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ AB διαμέτρῳ ἐκτὸς τῆς τομῆς.

ἀλλὰ δὴ ἔστω ὑπερβολή. ἐπεὶ οὖν ἐν τῇ ὑπερβολῇ ἐστιν, ὡς τὸ ἀπὸ τῆς $ΓE$ πρὸς τὸ ἀπὸ τῆς $BΔ$, οὕτως τὸ ὑπὸ ZEA πρὸς τὸ ὑπὸ ZBA, μεῖζον ἄρα καὶ τὸ ἀπὸ τῆς $ΓE$ τοῦ ἀπὸ τῆς $ΔB$. καί εἰσι παράλληλοι· ἡ $ΓΔ$ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ τῆς τομῆς ἐκτὸς τῆς τομῆς.

κγ'.

Ἐὰν ἔλλειψιν εὐθεῖα τέμνῃ μεταξὺ κειμένη τῶν δύο διαμέτρων, ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν διαμέτρων ἐκτὸς τῆς τομῆς.

---

1. κβ'] p, om. V, m. 2 v. 13. AE] AB V; EA p (A e corr.). 15. $ΔB$] AB V; corr. p. 16. ἄρα] p, om. V. 18. Mg. m. 1 $Δι$.... V. 24. κγ'] p, om. V, m. 2 v.

XXII.

Si recta cum diametro non concurrens intra sectionem parabolam uel hyperbolam in duobus punctis secat, producta cum diametro sectionis extra sectionem concurret.

sit parabola uel hyperbola, cuius diametrus sit AB, et recta aliqua sectionem secet in duobus punctis



Γ, Δ. dico, rectam $\Gamma\Delta$ productam cum diametro AB extra sectionem concurrere.

a Γ, Δ enim ordinate ducantur ΓE, ΔB; prius autem sectio sit parabola. iam quoniam in parabola est $\Gamma E^2 : \Delta B^2 = EA : AB$ [prop. XX], et $AE > AB$, erit etiam $\Gamma E^2 > \Delta B^2$. quare etiam $\Gamma E > \Delta B$. et sunt parallelae; itaque $\Gamma\Delta$ producta cum diametro AB extra sectionem concurret.

iam uero sit hyperbola. quoniam igitur in hyperbola est $\Gamma E^2 : B\Delta^2 = ZE \times EA : ZB \times BA$ [prop. XXI], erit etiam $\Gamma E^2 > \Delta B^2$. et sunt parallelae; itaque $\Gamma\Delta$ producta cum diametro sectionis extra sectionem concurret.

XXIII.

Si recta ellipsim secat inter ambas diametros posita, producta cum utraque diametro extra sectionem concurret.

ἔστω ἔλλειψις, ἧς διάμετροι αἱ ΑΒ, ΓΔ, καὶ τεμνέτω τις εὐθεῖα τὴν τομὴν ἡ ΕΖ μεταξὺ κειμένη τῶν ΑΒ, ΓΔ διαμέτρων. λέγω, ὅτι η ΕΖ ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν ΑΒ, ΓΔ ἐκτὸς τῆς τομῆς.

κατήχθωσαν γὰρ ἀπὸ τῶν Ε, Ζ τεταγμένως ἐπὶ μὲν τὴν ΑΒ αἱ ΗΕ, ΖΘ, ἐπὶ δὲ τὴν ΔΓ αἱ ΕΚ, ΖΛ. ἔστιν ἄρα, ὡς μὲν τὸ ἀπὸ τῆς ΕΗ πρὸς τὸ ἀπὸ τῆς ΖΘ, οὕτως τὸ ὑπο ΒΗΑ πρὸς τὸ ὑπὸ ΒΘΑ, ὡς δὲ τὸ ἀπὸ ΖΛ πρὸς τὸ ἀπὸ ΕΚ, οὕτως τὸ ὑπὸ ΔΛΓ πρὸς τὸ ὑπὸ ΔΚΓ. καί ἐστι τὸ μὲν ὑπὸ ΒΗΑ μεῖζον τοῦ ὑπὸ ΒΘΑ· ἔγγιον γὰρ τὸ Η τῆς διχοτομίας· τὸ δὲ ὑπὸ ΔΛΓ τοῦ ὑπὸ ΔΚΓ μεῖζον· μεῖζον ἄρα καὶ τὸ μὲν ἀπὸ τῆς ΗΕ τοῦ ἀπὸ ΖΘ, τὸ δὲ ἀπὶ ΖΛ τοῦ ἀπὸ ΕΚ· μείζων ἄρα καὶ ἡ μὲν ΗΕ τῆς ΖΘ, ἡ δὲ ΖΛ τῆς ΕΚ. καί ἐστι παράλληλος ἡ μὲν ΗΕ τῇ ΖΘ, ἡ δὲ ΖΛ τῇ ΕΚ· ἡ ΕΖ ἄρα ἐκβαλλομένη συμπεσεῖται ἑκατέρᾳ τῶν ΑΒ, ΓΔ διαμέτρων ἐκτὸς τῆς τομῆς.

κδʹ.

Ἐὰν παραβολῇ ἢ ὑπερβολῇ εὐθεῖα καθʼ ἓν σημεῖον συμπίπτουσα ἐκβαλλομένη ἐφʼ ἑκάτερα ἐκτὸς πίπτῃ τῆς τομῆς, συμπεσεῖται τῇ διαμέτρῳ.

ἔστω παραβολὴ ἢ ὑπερβολή, ἧς διάμετρος η ΑΒ, καὶ συμπιπτέτω αὐτῇ εὐθεῖα ἡ ΓΔΕ κατὰ τὸ Δ καὶ ἐκβαλλομένη ἐφʼ ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς. λέγω, ὅτι συμπεσεῖται τῇ ΑΒ διαμέτρῳ.

εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Ζ, καὶ

---

1. αἱ] p, om. V. 6. διὰ καʹ τούτου τοῦ βιβλίου mg. m. 1 V. 6. ΖΛ] ΖΝ V; corr. p. 10. ἐστι] c, ἐστιν V. 11. διὰ τὸ εʹ τοῦ βʹ στοιχ. mg. m. 1 V. 18. κδʹ] p, om. V, m. 2 v.

sit ellipsis, cuius diametri sint AB, $\Gamma\Delta$, et recta EZ inter diametros AB, $\Gamma\Delta$ posita sectionem secet.



dico, rectam EZ productam cum utraque diametro AB, $\Gamma\Delta$ extra sectionem concurrere.

ducantur enim ab E, Z ad AB ordinate HE, $Z\Theta$, ad $\Delta\Gamma$ autem EK, $Z\Lambda$. erit igitur [prop. XXI]

$$EH^2 : Z\Theta^2 = BH \times HA : B\Theta \times \Theta A,$$
$$Z\Lambda^2 : EK^2 = \Delta\Lambda \times \Lambda\Gamma : \Delta K : K\Gamma.$$

est autem $BH \times HA > B\Theta \times \Theta A$; H enim puncto medio propius est [Eucl. II, 5]; et

$$\Delta\Lambda \times \Lambda\Gamma > \Delta K \times K\Gamma \text{ [ib.]}.$$

quare etiam $HE^2 > Z\Theta^2$, $Z\Lambda^2 > EK^2$. itaque etiam $HE > Z\Theta$, $Z\Lambda > EK$. et HE rectae $Z\Theta$, $Z\Lambda$ rectae EK parallela est. ergo EZ producta cum utraque diametro AB, $\Gamma\Delta$ extra sectionem concurret.

XXIV.

Si recta cum parabola uel hyperbola in uno puncto concurrens in utramque partem producta extra sectionem cadit, cum diametro concurret.



sit parabola uel hyperbola, cuius diametrus sit AB, et recta $\Gamma\Delta E$ cum ea in Δ concurrat, et in utramque partem producta extra sectionem cadat. dico, eam cum diametro AB concurrere.

sumatur enim in sectione punctum aliquod Z, et ἐπεζεύχθω ἡ $\varDelta Z$· ἡ $\varDelta Z$ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ τῆς τομῆς. συμπιπτέτω κατὰ τὸ A· καί ἐστι μεταξὺ τῆς τε τομῆς καὶ τῆς $Z\varDelta A$ ἡ $\Gamma\varDelta E$. καὶ ἡ $\Gamma\varDelta E$ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ ἐκτὸς τῆς τομῆς.

κε'.

Ἐὰν ἐλλείψει εὐθεῖα συμπίπτουσα μεταξὺ τῶν δύο διαμέτρων ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πίπτῃ τῆς τομῆς, συμπεσεῖται ἑκατέρᾳ τῶν διαμέτρων.

ἔστω ἔλλειψις, ἧς διάμετροι αἱ $AB, \Gamma\varDelta$, καὶ ταύτῃ συμπιπτέτω τις εὐθεῖα μεταξὺ τῶν δύο διαμέτρων ἡ EZ κατὰ τὸ H καὶ ἐκβαλλομένη ἐφ' ἑκάτερα ἐκτὸς πιπτέτω τῆς τομῆς. λέγω, ὅτι ἡ EZ συμπεσεῖται ἑκατέρᾳ τῶν $AB, \Gamma\varDelta$.

κατήχθωσαν ἀπὸ τοῦ H ἐπὶ τὰς $AB, \Gamma\varDelta$ τεταγμένως αἱ $H\Theta$, HK. ἐπεὶ παράλληλός ἐστιν ἡ HK τῇ AB, συμπέπτωκε δέ τις τῇ HK ἡ HZ, καὶ τῇ AB ἄρα συμπεσεῖται. ὁμοίως δὴ καὶ τῇ $\Gamma\varDelta$ συμπεσεῖται ἡ EZ.

κϛ'.

Ἐὰν ἐν παραβολῇ ἢ ὑπερβολῇ εὐθεῖα ἀχθῇ παρὰ τὴν διάμετρον τῆς τομῆς, συμπεσεῖται τῇ τομῇ καθ' ἓν μόνον σημεῖον.

ἔστω πρότερον παραβολή, ἧς διάμετρος ἡ $AB\Gamma$, ὀρθία δὲ ἡ $A\varDelta$, καὶ τῇ AB παράλληλος ἤχθω ἡ EZ. λέγω, ὅτι ἡ EZ ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ.

2. τῆς] ἐκτὸς τῆς Halley. 5. τῆς] om. in extr. lin. V, corr. vp. 6. κε'] p, om. V, m. 2 v. 16. HK] (pr.) p, corr. ex ΘK m. 1 V. 18. ἡ] p, om. V. 19. κϛ'] p, om. V, m. 2 v. 20. ἐν] addidi; om. V. 23. ἡ] p, om. V.

ducatur ΔZ. ΔZ igitur producta cum diametro sectionis concurret [prop. XXII]. concurrat in A. et $\Gamma\Delta E$ inter sectionem et rectam $Z\Delta A$ posita est. ergo etiam $\Gamma\Delta E$ producta cum diametro extra sectionem concurret.

XXV.

Si recta cum ellipsi inter ambas diametros concurrens in utramque partem producta extra sectionem cadit, cum utraque diametro concurret.

sit ellipsis, cuius diametri sint AB, $\Gamma\Delta$, et cum ea recta EZ inter ambas diametros concurrat in H et in utramque partem producta extra sectionem cadat. dico, EZ cum utraque diametro AB, $\Gamma\Delta$ concurrere.



ab H ad AB, $\Gamma\Delta$ ordinate ducantur $H\Theta$, HK. quoniam HK rectae AB parallela est, et recta aliqua HZ cum HK concurrit, etiam cum AB concurret. et eadem de causa etiam EZ cum $\Gamma\Delta$ concurret.

XXVI.

Si in parabola uel hyperbola recta diametro sectionis parallela ducitur, cum sectione in uno puncto solo concurret.

sit prius parabola, cuius diametrus sit $AB\Gamma$, latus autem rectum $A\Delta$, et rectae AB parallela ducatur EZ. dico, EZ productam cum sectione concurrere.

εἰλήφθω γάρ τι σημεῖον ἐπὶ τῆς ΕΖ τὸ Ε, καὶ ἀπὸ τοῦ Ε παρὰ τεταγμένως κατηγμένην ἤχθω ἡ ΕΗ, καὶ τοῦ ἀπὸ τῆς ΗΕ μεῖζον ἔστω τὸ ὑπὸ ΔΑΓ, καὶ ἀπὸ τοῦ Γ τεταγμένως ἀνήχθω ἡ ΓΘ· τὸ ἄρα ἀπὸ τῆς ΘΓ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΔΑΓ. μεῖζον δὲ τὸ ὑπο ΔΑΓ τοῦ ἀπὸ ΕΗ· μεῖζον ἄρα καὶ τὸ ἀπὸ ΘΓ τοῦ ἀπὸ ΕΗ· μείζων ἄρα καὶ ἡ ΘΓ τῆς ΕΗ. καί εἰσι παράλληλοι· ἡ ΕΖ ἄρα ἐκβαλλομένη τέμνει τὴν ΘΓ· ὥστε καὶ τῇ τομῇ συμπεσεῖται.

συμπιπτέτω κατὰ τὸ Κ.

λέγω δή, ὅτι καὶ καθ' ἓν μόνον σημεῖον τὸ Κ συμπεσεῖται. εἰ γὰρ δυνατόν, συμπιπτέτω καὶ κατὰ τὸ Λ. ἐπεὶ οὖν παραβολὴν εὐθεῖα τέμνει κατα δύο σημεῖα, ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ τῆς τομῆς· ὅπερ ἄτοπον· ὑπόκειται γὰρ παράλληλος. ἡ ΕΖ ἄρα ἐκβαλλομένη καθ' ἓν μόνον σημεῖον συμπίπτει τῇ τομῇ.

ἔστω δὴ ἡ τομὴ ὑπερβολή, πλαγία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΑΒ, ὀρθία δὲ ἡ ΑΔ, καὶ ἐπεζεύχθω ἡ ΔΒ καὶ ἐκβεβλήσθω. τῶν αὐτῶν δὴ κατασκευασθέντων ἤχθω ἀπὸ τοῦ Γ τῇ ΑΔ παράλληλος ἡ ΓΜ. ἐπεὶ οὖν τὸ ὑπὸ ΜΓΑ μεῖζόν ἐστι τοῦ ὑπὸ ΔΑΓ, καί ἐστι τῷ μὲν ὑπὸ ΜΓΑ ἴσον τὸ ἀπὸ ΓΘ, τὸ δὲ ὑπὸ ΔΑΓ μεῖζον τοῦ ἀπὸ ΗΕ, μεῖζον ἄρα καὶ τὸ ἀπὸ ΓΘ τοῦ ἀπὸ ΕΗ. ὥστε καὶ ἡ ΓΘ τῆς ΕΗ μείζων ἐστί, καὶ τὰ αὐτὰ τοῖς πρότερον συμβήσεται.



4. τοῦ] insertum m. 1 V. 10. Κ] Γ V; corr. p. 18. τοῦ εἴδους] cvp, ob pergam. ruptum incerta in V.

sumatur enim in EZ punctum aliquod E, et ab E rectae ordinate ductae parallela ducatur EH, et sit



$\Delta A \times A\Gamma > HE^2$, a Γ autem ordinate erigatur $\Gamma\Theta$. est igitur $\Theta\Gamma^2 = \Delta A \times A\Gamma$ [prop. XI]. est autem

$$\Delta A \times A\Gamma > EH^2.$$

itaque etiam $\Theta\Gamma^2 > EH^2$; quare etiam $\Theta\Gamma > EH$. et sunt parallelae; EZ igitur producta rectam $\Theta\Gamma$ secat. ergo etiam cum sectione concurrit.

concurrat in K.

iam dico, eam etiam in solo puncto K concurrere. nam si fieri potest, etiam in Λ concurrat. quoniam igitur recta parabolam in duobus punctis secat, producta cum diametro sectionis concurret [prop. XXII]; quod fieri non potest. supposuimus enim, eas parallelas esse. ergo EZ producta in uno solo puncto cum sectione concurrit.

iam igitur sectio hyperbola sit, AB autem latus sectionis transuersum et $A\Delta$ latus rectum, ducaturque ΔB et producatur. iisdem igitur praeparatis a Γ rectae $A\Delta$ parallela ducatur ΓM. iam quoniam

$$M\Gamma \times \Gamma A > \Delta A \times A\Gamma,$$

et

$$\Gamma\Theta^2 = M\Gamma \times \Gamma A \text{ [prop. XII]},$$

$$\Delta A \times A\Gamma > HE^2,$$

erit etiam $\Gamma\Theta^2 > EH^2$. quare etiam $\Gamma\Theta > EH$, et eadem, quae antea, euenient [prop. XXII].

6*

κζ'.

Ἐὰν παραβολῆς τὴν διάμετρον εὐθεῖα τέμνῃ, ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

ἔστω παραβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ ταύτην τεμνέτω τις εὐθεῖα ἐντὸς τῆς τομῆς ἡ ΓΔ. λέγω, ὅτι ἡ ΓΔ ἐκβαλλομένη ἐφ' ἑκάτερα τὰ μέρη συμπεσεῖται τῇ τομῇ.

ἤχθω γάρ τις ἀπὸ τοῦ Α παρὰ τεταγμένως κατηγμένην ἡ ΑΕ· ἡ ΑΕ ἄρα ἐκτὸς πεσεῖται τῆς τομῆς.

ἤτοι δὴ ἡ ΓΔ τῇ ΑΕ παράλληλός ἐστιν ἢ οὔ.

εἰ μὲν οὖν παράλληλός ἐστιν αὐτῇ, τεταγμένως κατῆκται, ὥστε ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

μὴ ἔστω δὴ παράλληλος τῇ ΑΕ, ἀλλ' ἐκβαλλομένη συμπιπτέτω τῇ ΑΕ κατὰ τὸ Ε. ὅτι μὲν οὖν τῇ τομῇ συμπίπτει ἐπὶ τὰ μέρη, ἐφ' ἅ ἐστι τὸ Ε, φανερόν· εἰ γὰρ τῇ ΑΕ συμβάλλει, πολὺ πρότερον τέμνει τὴν τομήν.

λέγω, ὅτι καὶ ἐπὶ τὰ ἕτερα μέρη ἐκβαλλομένη συμπίπτει τῇ τομῇ. ἔστω γὰρ παρ' ἣν δύνανται ἡ ΜΑ καὶ τεταγμένως ἡ ΗΖ, καὶ τὸ ἀπὸ ΑΔ ἴσον ἔστω τῷ ὑπὸ ΒΑΖ, καὶ παρατεταγμένως ἡ ΒΚ συμπιπτέτω τῇ ΔΓ κατὰ τὸ Γ. ἐπεὶ ἴσον ἐστὶ τὸ ὑπὸ ΖΑΒ τῷ ἀπὸ ΑΔ, ἔστιν ὡς ἡ ΑΒ πρὸς ΑΔ, ἡ ΔΑ πρὸς ΑΖ· καὶ λοιπὴ ἄρα ἡ ΒΔ πρὸς λοιπὴν τὴν ΔΖ ἐστιν, ὡς ἡ ΒΑ πρὸς ΑΔ. καὶ ὡς ἄρα τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπο ΖΔ, οὕτως τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ. ἐπειδὴ δὲ ἴσον τὸ ἀπὸ ΑΔ τῷ ὑπὸ ΒΑΖ,

1. κζ'] p, om. V, m. 2 v. 21. ΒΑΖ] ΒΖΑ V; corr. p (τῶν ΒΑ, ΑΖ). ΒΚ] scripsi cum Memo; ΓΚ V; ΒΓ p; ΓΒ Halley, sed in fig. Κ habet cum V. 23. διὰ ιζ' τοῦ ϛ' στοιχ. mg. m. 1 V.

XXVII.

Si recta diametrum parabolae secat, in utramque partem producta cum sectione concurret.

sit parabola, cuius diametrus sit AB, et hanc recta aliqua $\Gamma\varDelta$ intra sectionem secet. dico, $\Gamma\varDelta$ in utramque partem productam cum sectione concurrere.

ducatur enim ab A rectae ordinate ductae parallela AE; AE igitur extra sectionem cadet [prop. XVII]. $\Gamma\varDelta$ igitur rectae AE aut parallela est aut non parallela.

si igitur ei parallela est, ordinate ducta est; quare in utramque partem producta cum sectione concurret [prop. XIX]. ne sit igitur rectae AE parallela, et producta cum AE in E concurrat. iam igitur eam ad partes E uersus cum sectione concurrere, manifestum est; nam si cum AE concurrit, multo prius sectionem secat.



dico, eam etiam ad alteram partem productam cum sectione concurrere. sit enim MA parametrus et HZ ordinate ducta, et sit $A\varDelta^2 = BA \times AZ$, et BK rectae ordinate ductae parallela concurrat cum $\varDelta\Gamma$ in Γ. quoniam $ZA \times AB = A\varDelta^2$, erit $AB : A\varDelta = \varDelta A : AZ$ [Eucl. VI, 17]. quare etiam $B\varDelta : \varDelta Z = BA : A\varDelta$ [Eucl. V, 19]. quare etiam

$$B\varDelta^2 : Z\varDelta^2 = BA^2 : A\varDelta^2.$$

24. *διὰ ιθ΄ τοῦ ε΄ στοιχ.* mg. m. 1 V. 25. *διὰ κβ΄ τοῦ ϛ΄ στοιχ.* mg. m. 1 V. 27. *διὰ* $\overline{ιο}$ *τοῦ ιθ΄ τοῦ ϛ΄ στοιχ.* mg. m. 1 V.

ἔστιν ὡς ἡ BA πρὸς AZ, οὕτως τὸ ἀπὸ BA πρὸς τὸ ἀπὸ $A\Delta$, τουτέστι τὸ ἀπὸ $B\Delta$ πρὸς τὸ ἀπὸ ΔZ. ὡς δὲ τὸ ἀπὸ $B\Delta$ πρὸς τὸ ἀπὸ ΔZ, οὕτως τὸ ἀπὸ $B\Gamma$ πρὸς τὸ ἀπὸ ZH, ὡς δὲ ἡ AB πρὸς AZ, οὕτως το ὑπὸ BAM πρὸς τὸ ὑπὸ ZAM. ὡς ἄρα τὸ ἀπὸ $B\Gamma$ πρὸς τὸ ἀπὸ ZH, οὕτως τὸ ὑπὸ BAM πρὸς τὸ ὑπὸ ZAM· καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ $B\Gamma$ πρὸς τὸ ὑπὸ BAM, οὕτως τὸ ἀπὸ ZH πρὸς τὸ ὑπὸ ZAM. τὸ δὲ ἀπὸ ZH ἴσον τῷ ὑπὸ ZAM διὰ τὴν τομήν· καὶ τὸ ἀπὸ $B\Gamma$ ἄρα ἴσον ἐστὶ τῷ ὑπὸ BAM. πλαγία δὲ ἡ AM, παρατεταγμένως δὲ ἡ $B\Gamma$. ἡ ἄρα τομὴ ἔρχεται διὰ τοῦ Γ, καὶ συμπίπτει τῇ τομῇ ἡ $\Gamma\Delta$ κατὰ τὸ Γ.

κη΄.

Ἐὰν εὐθεῖα ἐφάπτηται μιᾶς τῶν ἀντικειμένων, ληφθῇ δέ τι σημεῖον ἐντὸς τῆς ἑτέρας τομῆς, καὶ δι᾽ αὐτοῦ παράλληλος ἀχθῇ τῇ ἐφαπτομένῃ εὐθεῖα, ἐκβαλλομένη ἐφ᾽ ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

ἔστωσαν ἀντικείμεναι, ὧν ἡ AB διάμετρος, καὶ τῆς A τομῆς ἐφαπτέσθω τις εὐθεῖα ἡ $\Gamma\Delta$, καὶ εἰλήφθω τι σημεῖον ἐντὸς τῆς ἑτέρας τομῆς τὸ E, καὶ διὰ τοῦ E τῇ $\Gamma\Delta$ παράλληλος ἤχθω ἡ EZ. λέγω, ὅτι ἡ EZ ἐκβαλλομένη ἐφ᾽ ἑκάτερα συμπεσεῖται τῇ τομῇ.

ἐπεὶ οὖν δέδεικται, ὅτι ἡ $\Gamma\Delta$ ἐκβαλλομένη συμπεσεῖται τῇ AB διαμέτρῳ, καί ἐστι παράλληλος αὐτῇ ἡ EZ, ἡ EZ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ διαμέτρῳ· συμπιπτέτω κατὰ τὸ H, καὶ τῇ HB ἴση κείσθω ἡ $A\Theta$, καὶ διὰ τοῦ Θ τῇ ZE παράλληλος ἤχθω ἡ

1. AZ] sic V, sed pro Z alia forma eiusdem litterae restituta manu 1. 2. τουτέστι — ΔZ] bis V; corr. cp. 3. Mg. [διὰ δ΄] τοῦ ϛ΄ m. 1 V. 5. BAM] ABM V; corr. Memus.

quoniam autem est $A\varDelta^2 = BA \times AZ$, erit

$$BA : AZ = BA^2 : A\varDelta^2 \text{ [Eucl. V def. 9]},$$

hoc est $BA : AZ = B\varDelta^2 : \varDelta Z^2$. est autem

$$B\varDelta^2 : \varDelta Z^2 = B\Gamma^2 : ZH^2 \text{ [Eucl. VI, 4]},$$

et $AB : AZ = BA \times AM : ZA \times AM$. itaque

$$B\Gamma^2 : ZH^2 = BA \times AM : ZA \times AM.$$

et permutando [Eucl. V, 16]

$$B\Gamma^2 : BA \times AM = ZH^2 : ZA \times AM.$$

uerum propter sectionem est $ZH^2 = ZA \times AM$ [prop. XI]. quare etiam $B\Gamma^2 = BA \times AM$. uerum AM latus transuersum est et $B\Gamma$ rectae ordinate ductae parallela. ergo sectio per Γ ueniet [prop. XX], et $\Gamma\varDelta$ cum sectione concurrit in Γ.

XXVIII.

Si recta alterutram oppositarum contingit et intra alteram sectionem punctum aliquod sumitur, et per id recta contingenti parallela ducitur, haec in utramque partem producta cum sectione concurret.

sint oppositae, quarum diametrus sit AB, et sectionem A contingat recta $\Gamma\varDelta$, et intra alteram sectionem punctum aliquod E sumatur, et per E rectae $\Gamma\varDelta$ parallela ducatur EZ. dico, EZ in utramque partem productam cum sectione concurrere.

quoniam igitur demonstrauimus, $\Gamma\varDelta$ productam cum diametro AB concurrere [prop. XXIV], eique parallela est EZ, EZ producta cum diametro concurret; concurrat in H, et ponatur $A\Theta = HB$, et per Θ rectae ZE parallela ducatur ΘK, ordinateque ducatur

8. πρός — ZH] bis V; corr. p. 11. [διὰ] κ' τού[του τοῦ βιβλίου] mg. m. 1 V. 13. κη'] p, om. V, m. 2 v.

ΘΚ, καὶ τεταγμένως κατήχθω ἡ ΚΛ, καὶ τῇ ΛΘ ἴση κείσθω ἡ ΗΜ, καὶ παρατεταγμένως ἤχθω ἡ ΜΝ, καὶ προσεκβεβλήσθω ἐπ' εὐθείας ἡ ΗΝ. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΚΛ τῇ ΜΝ, ἡ δὲ ΚΘ τῇ ΗΝ, καὶ μία εὐθεῖά ἐστιν ἡ ΛΜ, ὅμοιόν ἐστι τὸ ΚΘΛ τρίγωνον τῷ ΗΜΝ τριγώνῳ. καὶ ἴση ἐστὶν ἡ ΛΘ τῇ ΗΜ· ἴση ἄρα ἐστὶν ἡ ΚΛ τῇ ΜΝ. ὥστε καὶ τὸ ἀπὸ ΚΛ τῷ ἀπὸ ΜΝ ἴσον ἐστί. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΛΘ τῇ ΗΜ, ἡ δὲ ΑΘ τῇ ΒΗ, κοινὴ δὲ ἡ ΑΒ, ἴση ἄρα ἐστὶν ἡ ΒΛ τῇ ΑΜ· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΒΛΑ τῷ ὑπὸ ΑΜΒ. ὡς ἄρα τὸ ὑπὸ ΒΛΑ πρὸς τὸ ἀπὸ ΚΛ, οὕτως τὸ ὑπὸ ΑΜΒ πρὸς τὸ ἀπὸ ΜΝ. καί ἐστιν, ὡς τὸ ὑπὸ ΒΛΑ πρὸς τὸ ἀπὸ ΛΚ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα τὸ ὑπὸ ΑΜΒ πρὸς τὸ ἀπὸ ΜΝ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν. τὸ Ν ἄρα πρὸς τῇ τομῇ ἐστιν. ἡ ΕΖ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ κατὰ τὸ Ν.

ὁμοίως δὴ δειχθήσεται, ὅτι καὶ ἐπὶ τὰ ἕτερα μέρη ἐκβαλλομένη συμπεσεῖται τῇ τομῇ.

κθ'.

Ἐὰν ἐν ἀντικειμέναις εὐθεῖα προσπίπτῃ διὰ τοῦ κέντρου πρὸς ὁποτέραν τῶν τομῶν, ἐκβαλλομένη τεμεῖ τὴν ἑτέραν τομήν.

ἔστωσαν ἀντικείμεναι, ὧν διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, καὶ ἡ ΓΔ τεμνέτω τὴν ΑΔ τομήν. λέγω, ὅτι καὶ τὴν ἑτέραν τομὴν τεμεῖ.

---

1. *ΚΛ*] cvp, *ΘΚ* e corr. m. 1 V. 9. *ΒΗ*] c, *Β* e corr. m. 1 V. 11. *ΒΛΑ*] *ΒΑΛ* V; corr. p (*ΒΛ, ΛΑ*). *ΒΛΑ*] *ΒΑΛ* V; corr. p (*τῶν ΒΛ, ΛΑ*). 20. *κθ'*] p, om. V, m. 2 v. 21. *διά*] euan. V. 22. *τέμει* V; corr. p.

$K\Lambda$, et ponatur $HM = \Lambda\Theta$, et rectae ordinate ductae parallela ducatur MN, et in directum producatur EH,



ut fiat HN. iam quoniam $K\Lambda$ rectae MN, $K\Theta$ rectae HN parallela est, et ΛM una est recta, erit

$$K\Theta\Lambda \backsim HMN.$$

et $\Lambda\Theta = HM$; quare

$$K\Lambda = MN$$

[Eucl. VI, 4]. quare etiam $K\Lambda^2 = MN^2$. et quoniam $A\Theta = HM$, $A\Theta = BH$, et AB communis est, erit $B\Lambda = AM$. itaque erit

$$B\Lambda \times A\Lambda = AM \times MB.$$

quare

$$B\Lambda \times A\Lambda : K\Lambda^2 = AM \times MB : MN^2.$$

est autem ut $B\Lambda \times A\Lambda$ ad ΛK^2, ita latus transuersum ad latus rectum [prop. XXI]. quare etiam ut

$$AM \times MB : MN^2,$$

ita latus transuersum ad latus rectum. ergo N in sectione est [ib.]. ergo EZ producta cum sectione in N concurret.

iam similiter demonstrabimus, eam etiam ad alteram partem productam cum sectione concurrere.

XXIX.

Si in oppositis recta per centrum ad utramuis sectionum adcidit, producta alteram sectionem secabit.

sint oppositae, quarum diametrus sit AB, centrum autem Γ, et $\Gamma\Delta$ sectionem $A\Delta$ secet. dico, eam etiam alteram sectionem secaturam esse.

τεταγμένως γὰρ κατήχθω ἡ ΕΔ, καὶ τῇ ΑΕ ἴση κείσθω ἡ ΒΖ, καὶ τεταγμένως ἤχθω ἡ ΖΗ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΕΑ τῇ ΒΖ, κοινὴ δὲ ἡ ΑΒ, ἴσον ἄρα τὸ ὑπὸ ΒΕΑ τῷ ὑπὸ ΑΖΒ. καὶ ἐπεί ἐστιν, ὡς τὸ ὑπὸ ΒΕΑ πρὸς τὸ ἀπὸ ΔΕ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ἀλλὰ καὶ ὡς τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ἀπὸ ΖΗ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν, καὶ ὡς ἄρα τὸ ὑπὸ ΒΕΑ πρὸς τὸ ἀπὸ ΔΕ, οὕτως τὸ ὑπὸ ΑΖΒ πρὸς τὸ ἀπὸ ΖΗ. ἴσον δὲ τὸ ὑπὸ ΒΕΑ τῷ ὑπὸ ΑΖΒ· ἴσον ἄρα καὶ τὸ ἀπὸ ΕΔ τῷ ἀπὸ ΖΗ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν ΕΓ τῇ ΓΖ, ἡ δὲ ΔΕ τῇ ΖΗ, καὶ εὐθεῖά ἐστιν ἡ ΕΖ, καὶ παράλληλος ἡ ΕΔ τῇ ΖΗ, καὶ ἡ ΔΗ ἄρα εὐθεῖά ἐστι. καὶ ἡ ΓΔ ἄρα τεμεῖ καὶ τὴν ἑτέραν τομήν.

λ'.

Ἐὰν ἐν ἐλλείψει ἢ ἀντικειμέναις εὐθεῖα ἀχθῇ ἐφ' ἑκάτερα τοῦ κέντρου συμπίπτουσα τῇ τομῇ, δίχα τμηθήσεται κατὰ τὸ κέντρον.

ἔστω ἔλλειψις ἢ ἀντικείμεναι, διάμετρος δὲ αὐτῶν ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, καὶ διὰ τοῦ Γ ἤχθω τις εὐθεῖα ἡ ΔΓΕ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΓΔ τῇ ΓΕ.



ἤχθωσαν γὰρ τεταγμένως αἱ ΔΖ, ΕΗ. καὶ ἐπεί ἐστιν ὡς τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ἀπὸ ΖΔ, ἡ πλαγία

6. ἀλλά — 7. ὀρθίαν] om. V; corr. Memus; cfr. p. 92, 1. 10. ἀπό] (pr.) ὑπό V; corr. p. 14. λ'] p, om. V, m. 2 v.

ordinate enim ducatur $E\Delta$, et ponatur $BZ = AE$, ordinateque ducatur ZH. iam quoniam est $EA = BZ$, et AB communis est, erit $BE \times EA = AZ \times ZB$. et quoniam est, ut



$$BE \times EA : \Delta E^2,$$

ita latus transuersum ad latus rectum, uerum etiam ut $AZ \times ZB : ZH^2$, ita latus transuersum ad latus rectum [prop. XXI], erit etiam

$$BE \times EA : \Delta E^2 = AZ \times ZB : ZH^2.$$

est autem $BE \times EA = AZ \times ZB$. quare etiam $E\Delta^2 = ZH^2$ [Eucl. V, 9].

quoniam igitur est $E\Gamma = \Gamma Z$, $\Delta E = ZH$, et EZ recta est, et $E\Delta$ rectae ZH parallela, etiam ΔH recta est [cfr. Eucl. VI, 32]. ergo etiam $\Gamma\Delta$ alteram quoque sectionem secabit.

XXX.

Si in ellipsi uel oppositis recta ducitur ad utramque partem centri cum sectione concurrens, in centro in duas partes aequales secabitur.

sint ellipsis uel oppositae, earumque diametrus AB, centrum autem Γ, et per Γ recta ducatur $\Delta\Gamma E$. dico, esse $\Gamma\Delta = \Gamma E$.

ordinate enim ducantur ΔZ, EH. et quoniam est, ut $BZ \times ZA : Z\Delta^2$, ita latus transuersum ad latus rectum, uerum etiam ut $AH \times HB : HE^2$, ita latus transuersum ad latus rectum [prop. XXI], erit πρὸς τὴν ὀρθίαν, ἀλλὰ καὶ ὡς τὸ ὑπὸ ΑΗΒ πρὸς τὸ ἀπὸ ΗΕ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν, καὶ ὡς ἄρα τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ἀπὸ ΖΔ, οὕτως τὸ ὑπὸ ΑΗΒ πρὸς τὸ ἀπὸ ΗΕ. καὶ ἐναλλάξ, ὡς τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ὑπὸ ΑΗΒ, οὕτως τὸ ἀπὸ ΔΖ πρὸς τὸ ἀπὸ ΗΕ. ὡς δὲ τὸ ἀπὸ ΔΖ πρὸς τὸ ἀπὸ ΗΕ, οὕτως τὸ ἀπὸ ΖΓ πρὸς τὸ ἀπὸ ΓΗ· ἐναλλὰξ ἄρα, ὡς τὸ ὑπὸ ΒΖΑ πρὸς τὸ ἀπὸ ΖΓ, οὕτως τὸ ὑπὸ ΑΗΒ πρὸς τὸ ἀπὸ ΓΗ. καὶ ὡς ἄρα ἐπὶ μὲν τῆς ἐλλείψεως συνθέντι, ἐπὶ δὲ τῶν ἀντικειμένων ἀνάπαλιν καὶ ἀναστρέψαντι τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΓΖ, οὕτως τὸ ἀπὸ ΒΓ πρὸς τὸ ἀπὸ ΓΗ· καὶ ἐναλλάξ. ἴσον δὲ τῷ ἀπὸ ΑΓ τὸ ἀπὸ ΓΒ· ἴσον ἄρα καὶ τῷ ἀπὸ ΖΓ τὸ ἀπὸ ΓΗ. ἴση ἄρα ἡ ΖΓ τῇ ΓΗ. καί εἰσι παράλληλοι αἱ ΔΖ, ΗΕ· ἴση ἄρα καὶ ἡ ΔΓ τῇ ΓΕ.

λα΄.

Ἐὰν ὑπερβολῆς ἐπὶ τῆς πλαγίας πλευρᾶς τοῦ εἴδους ληφθῇ τι σημεῖον μὴ ἐλάττονα ἀπολαμβάνον πρὸς τῇ κορυφῇ τῆς τομῆς τῆς ἡμισείας τῆς πλαγίας τοῦ εἴδους πλευρᾶς, καὶ ἀπ᾽ αὐτοῦ προσπέσῃ εὐθεῖα πρὸς τὴν τομήν, προσεκβληθεῖσα ἐντὸς πεσεῖται τῆς τομῆς κατὰ τὰ ἑπόμενα μέρη τῆς τομῆς.

ἔστω ὑπερβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ εἰλήφθω ἐπ᾽ αὐτῆς σημεῖον ὄν τι τὸ Γ μὴ ἐλάττονα ἀπολαμβάνον τὴν ΓΒ τῆς ἡμισείας τῆς ΑΒ, καὶ προσπιπτέτω τις εὐθεῖα πρὸς τὴν τομὴν ἡ ΓΔ. λέγω, ὅτι ἡ ΓΔ ἐκβαλλομένη ἐντὸς πεσεῖται τῆς τομῆς.

11. τό] (pr.) ὡς τό V; corr. p. Ante ΑΓ del. 1 litt. m. 1 V; ΑΓ cp. ΓΖ — 12. ἀπό (pr.)] bis V; corr. vp. 12. καὶ ἐναλλάξ] om. p, del. Halley. 16. λα΄] p, om. V, m. 2 v. 21. προσεκβληθεῖσα] scripsi; ἡ προσβληθεῖσα V.

etiam $BZ \times ZA : Z\Delta^2 = AH \times HB : HE^2$. et permutando [Eucl. V, 16]

$$BZ \times ZA : AH \times HB = \Delta Z^2 : HE^2.$$

est autem

$$\Delta Z^2 : HE^2 = Z\Gamma^2 : \Gamma H^2 \text{ [Eucl. VI, 4].}$$

permutando igitur

$BZ \times ZA : Z\Gamma^2 = AH \times HB : \Gamma H^2$ [Eucl. V, 16]. quare etiam, in ellipsi componendo [Eucl. V, 18], in oppositis autem e contrario [Eucl. V, 7 coroll.] et conuertendo [Eucl. V, 19 coroll.],

$$A\Gamma^2 : \Gamma Z^2 = B\Gamma^2 : \Gamma H^2$$

[Eucl. II, 5]; et permutando. est autem $\Gamma B^2 = A\Gamma^2$. quare etiam $\Gamma H^2 = Z\Gamma^2$. itaque $Z\Gamma = \Gamma H$. et ΔZ, HE parallelae sunt. ergo etiam $\Delta\Gamma = \Gamma E$ [Eucl. VI, 4].

XXXI.

Si in hyperbola in latere transuerso figurae punctum sumitur ad uerticem sectionis rectam abscindens non minorem dimidio latere transuerso figurae, et ab eo recta ad sectionem adcidit, haec producta intra sectionem cadet ad partes eius sequentes.



sit hyperbola, cuius diametrus sit AB, et in ea punctum aliquod Γ sumatur abscindens ΓB non minorem dimidia AB, et ad sectionem adcidat recta $\Gamma\Delta$. dico, $\Gamma\Delta$ productam intra sectionem cadere.

εἰ γὰρ δυνατόν, ἐκτὸς πιπτέτω τῆς τομῆς ὡς ἡ ΓΔΕ, καὶ ἀπὸ τυχόντος σημείου τοῦ Ε τεταγμένως κατήχθω ἡ ΕΗ, καὶ ἡ ΔΘ, καὶ ἔστω πρότερον ἴση ἡ ΑΓ τῇ ΓΒ. καὶ ἐπεὶ τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΔΘ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ ΔΘ, ἀλλ' ὡς μὲν τὶ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΔΘ, οὕτως τὸ ἀπὸ ΗΓ πρὸς τὸ ἀπὸ ΓΘ διὰ τὸ παράλληλον εἶναι τὴν ΕΗ τῇ ΔΘ, ὡς δὲ τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ ΔΘ, οὕτως τὸ ὑπὸ ΑΗΒ πρὸς τὸ ὑπὸ ΑΘΒ διὰ τὴν τομήν, τὸ ἄρα ἀπὸ ΗΓ πρὸς τὸ ἀπὸ ΓΘ μείζονα λόγον ἔχει ἤπερ τὸ υπο ΑΗΒ πρὸς τὸ ὑπὸ ΑΘΒ. ἐναλλὰξ ἄρα τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΑΗΒ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΓΘ πρὸς τὸ ὑπὸ ΑΘΒ. διελόντι ἄρα τὸ ἀπὸ ΓΒ πρὸς τὸ ὑπὸ ΑΗΒ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΓΒ πρὸς τὸ ὑπὸ ΑΘΒ· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἡ ΓΔΕ ἐκτὸς πεσεῖται τῆς τομῆς· ἐντὸς ἄρα. καὶ διὰ τοῦτο ἡ ἀπό τινος τῶν ἐπὶ τῆς ΑΓ σημείων πολλῷ μᾶλλον ἐντὸς πεσεῖται, ἐπειδὴ καὶ τῆς ΓΔ ἐντὸς πεσεῖται.

λβ'.

Ἐὰν κώνου τομῆς διὰ τῆς κορυφῆς εὐθεῖα παρὰ τεταγμένως κατηγμένην ἀχθῇ, ἐφάπτεται τῆς τομῆς, καὶ εἰς τὸν μεταξὺ τόπον τῆς τε κώνου τομῆς καὶ τῆς εὐθείας ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

ἔστω κώνου τομὴ πρότερον ἡ καλουμένη παραβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ ἀπὸ τοῦ Α παρατεταγμένως ἤχθω ἡ ΑΓ.

ὅτι μὲν οὖν ἐκτὸς πίπτει τῆς τομῆς, δέδεικται.

---

5. ἀπό] (alt.) om. V; corr. p. 9. ΑΗΒ] c, Β e corr. m. 1 V. 11. τό] (pr.) τὸ ὑπὲρ τό V; corr. p. ΑΘΒ] c, Β e corr. m. 1 V. 20. λβ'] p, om. V, m. 2 v.

nam si fieri potest, extra sectionem cadat ut $\Gamma\Delta E$, et a puncto aliquo E ordinate ducatur EH, et item ducatur $\Delta\Theta$, et prius sit $A\Gamma = \Gamma B$. quoniam igitur est

$$EH^2 : \Delta\Theta^2 > ZH^2 : \Delta\Theta^2 \text{ [Eucl. V, 8]},$$

est autem

$$EH^2 : \Delta\Theta^2 = H\Gamma^2 : \Gamma\Theta^2,$$

quia EH, $\Delta\Theta$ parallelae sunt [Eucl. VI, 4], et

$$ZH^2 : \Delta\Theta^2 = AH \times HB : A\Theta \times \Theta B$$

propter sectionem [prop. XXI], erit

$$H\Gamma^2 : \Gamma\Theta^2 > AH \times HB : A\Theta \times \Theta B.$$

permutando igitur

$$\Gamma H^2 : AH \times HB > \Gamma\Theta^2 : A\Theta \times \Theta B.$$

dirimendo igitur $\Gamma B^2 : AH \times HB > \Gamma B^2 : A\Theta \times \Theta B$ [u. Eutocius]; quod fieri non potest [Eucl. V, 8]. ergo $\Gamma\Delta E$ extra sectionem non cadet; intra igitur. qua de causa recta a puncto aliquo rectae $A\Gamma$ ducta multo magis intra sectionem cadet, quoniam etiam intra $\Gamma\Delta$ cadet.

XXXII.

Si per uerticem sectionis coni recta rectae ordinate ductae parallela ducitur, sectionem contingit, nec in spatium inter sectionem coni et rectam positum alia recta incidet.

prius coni sectio sit parabola, quae uocatur, cuius diametrus sit AB, et ab A rectae ordinate ductae parallela ducatur $A\Gamma$.

iam eam extra sectionem cadere, demonstrauimus [prop. XVII]. dico igitur, in spatium inter rectam $A\Gamma$ et sectionem positum nullam aliam rectam incidere.

λέγω δή, ὅτι καὶ εἰς τὸν μεταξὺ τόπον τῆς ΑΓ εὐθείας καὶ τῆς τομῆς ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

εἰ γὰρ δυνατόν, παρεμπιπτέτω ὡς ἡ ΑΔ, καὶ εἰλήφθω τι σημεῖον ἐπ' αὐτῆς τυχὸν τὸ Δ, καὶ τεταγμένως κατήχθω ἡ ΔΕ, καὶ ἔστω παρ' ἣν δύνανται αἱ καταγόμεναι τεταγμένως ἡ ΑΖ. καὶ ἐπεὶ τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΗΕ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ δὲ ἀπὸ ΗΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΖΑΕ, καὶ τὸ ἀπὸ ΔΕ ἄρα πρὸς τὸ ἀπὸ ΕΑ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΖΑΕ πρὸς τὸ ἀπὸ ΕΑ, τουτέστιν ἡ ΖΑ πρὸς ΑΕ. πεποιήσθω οὖν, ὡς τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, οὕτως ἡ ΖΑ πρὸς ΑΘ, καὶ διὰ τοῦ Θ παράλληλος ἤχθω τῇ ΕΔ ἡ ΘΛΚ. ἐπεὶ οὖν ἐστιν, ὡς τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, ἡ ΖΑ πρὸς ΑΘ, τουτέστι τὸ ὑπὸ ΖΑΘ πρὸς τὸ ἀπὸ ΑΘ, καί ἐστιν, ὡς μὲν τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, οὕτως τὸ ἀπὸ ΚΘ πρὸς τὸ ἀπὸ ΘΑ, τῷ δὲ ὑπὸ ΖΑΘ ἴσον ἐστὶ τὸ ἀπὸ ΘΛ, καὶ ὡς ἄρα τὸ ἀπὸ ΚΘ πρὸς τὸ ἀπὸ ΘΑ, οὕτως τὸ ἀπὸ ΛΘ πρὸς τὸ ἀπὸ ΘΑ. ἴση ἄρα ἡ ΚΘ τῇ ΘΛ· ὅπερ ἄτοπον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς ΑΓ εὐθείας καὶ τῆς τομῆς ἑτέρα εὐθεῖα παρεμπεσεῖται.

ἔστω δὴ ἡ τομὴ ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, ὀρθία δὲ ἡ ΑΖ, καὶ ἐπιζευχθεῖσα ἡ ΒΖ ἐκβεβλήσθω, καὶ ἀπὸ τοῦ Α παρατεταγμένως ἤχθω ἡ ΑΓ.

ὅτι μὲν οὖν ἐκτὸς πίπτει τῆς τομῆς, δέδεικται.

---

7. μείζονα — 8. ΕΑ] om. V; corr. p (τῆς ΗΕ et τῆς ΕΑ). 11. πεποιείσθω V; corr. p. 13. ΕΔ] ΕΘ V; corr. p. 18. τό] (pr.) τῷ V; corr. p. 23. ἤ] ἡ V; corr. p. ἤ] ἡ V; corr. p.

nam si fieri potest, incidat ut $A\Delta$, et in ea sumatur punctum aliquod Δ, et ordinate ducatur ΔE, parametrus



autem rectarum ordinate ductarum sit AZ. et quoniam est $\Delta E^2 : EA^2 > HE^2 : EA^2$ [Eucl. V, 8], et $HE^2 = ZA \times AE$ [prop. XI], erit etiam

$$\Delta E^2 : EA^2 > ZA \times AE : EA^2,$$

hoc est $\Delta E^2 : EA^2 > ZA : AE$. fiat igitur $\Delta E^2 : EA^2 = ZA : A\Theta$, et per Θ rectae $E\Delta$ parallela ducatur $\Theta\Lambda K$. quoniam igitur est $\Delta E^2 : EA^2 = ZA : A\Theta = ZA \times A\Theta : A\Theta^2$, est autem [Eucl. VI, 4] $\Delta E^2 : EA^2 = K\Theta^2 : \Theta A^2$, et

$$ZA \times A\Theta = \Theta\Lambda^2 \text{ [prop. XI]},$$

erit etiam $K\Theta^2 : \Theta A^2 = \Lambda\Theta^2 : \Theta A^2$. quare $K\Theta = \Theta\Lambda$ [Eucl. V, 9]; quod absurdum est. ergo in spatium inter rectam $A\Gamma$ et sectionem positum nulla recta alia incidet.

iam sit sectio hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, latus autem rectum





AZ, et ducta BZ producatur, ab A autem rectae ordinate ductae parallela ducatur $A\Gamma$.

λέγω δή, ὅτι καὶ εἰς τὸν μεταξὺ τόπον τῆς ΑΓ εὐθείας καὶ τῆς τομῆς ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

εἰ γὰρ δυνατόν, παρεμπιπτέτω ὡς ἡ ΑΔ, καὶ εἰλήφθω τι σημεῖον ἐπ' αὐτῆς τυχὸν τὸ Δ, καὶ τεταγμένως ἀπ' αὐτοῦ κατήχθω ἡ ΔΕ, καὶ διὰ τοῦ Ε τῇ ΑΖ παράλληλος ἤχθω ἡ ΕΜ. καὶ ἐπεὶ τὸ ἀπὸ ΗΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΜ, πεποιήσθω τῷ ἀπὸ ΔΕ ἴσον τὸ ὑπὸ ΑΕΝ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΝ τεμνέτω τὴν ΖΜ κατὰ τὸ Ξ, καὶ διὰ μὲν τοῦ Ξ τῇ ΖΑ παράλληλος ἤχθω ἡ ΞΘ, διὰ δὲ τοῦ Θ τῇ ΑΓ ἡ ΘΛΚ. ἐπεὶ οὖν τὸ ἀπὸ ΔΕ ἴσον ἐστὶ τῷ ὑπο ΑΕΝ, ἔστιν ὡς ἡ ΝΕ πρὸς ΕΔ, ἡ ΔΕ πρὸς ΕΑ· καὶ ὡς ἄρα ἡ ΝΕ πρὸς ΕΑ, τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ. ἀλλ' ὡς μὲν ἡ ΝΕ πρὸς ΕΑ, ἡ ΞΘ πρὸς ΘΑ, ὡς δὲ τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ ἀπὸ ΚΘ πρὸς τὸ ἀπὸ ΘΑ. ὡς ἄρα ἡ ΞΘ πρὸς ΘΑ, τὸ ἀπὸ ΚΘ προς τὸ ἀπὸ ΘΑ· μέση ἄρα ἀνάλογόν ἐστιν ἡ ΚΘ τῶν ΞΘΑ. τὸ ἄρα ἀπὸ ΘΚ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΘΞ· ἔστι δὲ καὶ τὸ ἀπὸ ΛΘ τῷ ὑπὸ ΑΘΞ ἴσον διὰ τὴν τομήν· τὸ ἄρα ἀπὸ ΚΘ ἴσον ἐστὶ τῷ ἀπὸ ΘΛ· ὅπερ ἄτοπον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς τε ΑΓ εὐθείας καὶ τῆς τομῆς ἑτέρα εὐθεῖα παρεμπεσεῖται.

λγ′.

Ἐὰν ἐν παραβολῇ ληφθῇ τι σημεῖον, καὶ ἀπ' αὐτοῦ τεταγμένως ἐπὶ τὴν διάμετρον καταχθῇ, καὶ τῇ ἀπολαμβανομένῃ ὑπ' αὐτῆς ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τεθῇ ἴση ἐπ' εὐθείας ἀπ' ἄκρας αὐτῆς, ἡ ἀπὸ τοῦ γενομένου σημείου ἐπὶ τὸ ληφθὲν σημεῖον ἐπιζευγνυμένη ἐφάψεται τῆς τομῆς.

7. πεποιείσθω V; corr. p. τῷ] cvp, corr. ex τό m. 1 V. 23. λγ′] p, om. V, m. 2 v.

iam igitur eam extra sectionem cadere, demonstratum est [prop. XVII; Eucl. III, 16]. dico etiam, in spatium inter rectam $A\Gamma$ et sectionem positum nullam aliam rectam incidere.

nam si fieri potest, incidat ut $A\varDelta$, et in ea punctum aliquod sumatur $\varDelta$, et ab eo ordinate ducatur $\varDelta E$, per E autem rectae AZ parallela ducatur EM. et quoniam est $HE^2 = AE \times EM$ [prop. XII—XIII], fiat $AE \times EN = \varDelta E^2$, et ducta AN rectam ZM in Ξ secet, et per Ξ rectae ZA parallela ducatur $\Xi\Theta$, per Θ autem rectae $A\Gamma$ parallela $\Theta\varLambda K$. quoniam igitur $\varDelta E^2 = AE \times EN$, erit $NE : E\varDelta = \varDelta E : EA$ [Eucl. VI, 17]; quare etiam $NE : EA = \varDelta E^2 : EA^2$. uerum $NE : EA = \Xi\Theta : \Theta A$, $\varDelta E^2 : EA^2 = K\Theta^2 : \Theta A^2$ [Eucl. VI, 4]. itaque $\Xi\Theta : \Theta A = K\Theta^2 : \Theta A^2$. media igitur proportionalis est $K\Theta$ inter $\Xi\Theta$, ΘA. itaque [Eucl. VI, 17] $\Theta K^2 = A\Theta \times \Theta\Xi$. est autem etiam propter sectionem [prop. XII—XIII] $\varLambda\Theta^2 = A\Theta \times \Theta\Xi$. quare erit $K\Theta^2 = \varLambda\Theta^2$; quod absurdum est. ergo in spatium inter rectam $A\Gamma$ et sectionem alia recta non incidet.

XXXIII.

Si in parabola punctum aliquod sumitur, et ab eo ad diametrum recta ordinate ducitur, et rectae ab ea de diametro ad uerticem abscisae aequalis recta a termino eius in directum ponitur, recta a puncto ita orto ad sumptum punctum ducta sectionem continget.

sit parabola, cuius diametrus sit AB, et ordinate ducatur $\Gamma\varDelta$, ponaturque $AE = E\varDelta$, et ducatur $A\Gamma$. dico, $A\Gamma$ productam extra sectionem cadere.

ἔστω παραβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ κατήχθω τεταγμένως ἡ ΓΔ, καὶ τῇ ΕΔ ἴση κείσθω ἡ ΑΕ, καὶ ἐπεζεύχθω ἡ ΑΓ. λέγω, ὅτι ἡ ΑΓ ἐκβαλλομένη ἐκτὸς πεσεῖται τῆς τομῆς.

εἰ γὰρ δυνατόν, πιπτέτω ἐντὸς ὡς ἡ ΓΖ, καὶ τεταγμένως κατήχθω ἡ ΗΒ. καὶ ἐπεὶ τὸ ἀπὸ ΒΗ πρὸς τὸ ἀπὸ ΓΔ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΖΒ πρὸς τὸ ἀπὸ ΓΔ, ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΖΒ πρὸς τὸ ἀπὸ ΓΔ, τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ, ὡς δὲ τὸ ἀπὸ ΗΒ πρὸς τὸ ἀπὸ ΓΔ, ἡ ΒΕ πρὸς ΔΕ, ἡ ΒΕ ἄρα πρὸς ΕΔ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ. ἀλλ' ὡς ἡ ΒΕ πρὸς ΕΔ, τὸ τετράκις ὑπὸ ΒΕΑ πρὸς τὸ τετράκις ὑπὸ ΑΕΔ· καὶ τὸ τετράκις ἄρα ὑπὸ τῶν ΒΕΑ πρὸς τὸ τετράκις ὑπὸ ΑΕΔ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ. ἐναλλὰξ ἄρα τὸ τετράκις ὑπὸ ΒΕΑ πρὸς τὸ ἀπὸ ΑΒ μείζονα λόγον ἔχει ἤπερ τὸ τετράκις ὑπὸ ΑΕΔ πρὸς τὸ ἀπὸ ΑΔ· ὅπερ ἐστὶν ἀδύνατον· ἴσης γὰρ οὔσης τῆς ΑΕ τῇ ΕΔ τὸ τετράκις ὑπὸ ΑΕΔ τῷ ἀπὸ ΑΔ ἐστιν ἴσον, τὸ δὲ τετράκις ὑπὸ ΒΕΑ τοῦ ἀπὸ ΒΑ ἐστιν ἔλασσον· τῆς γὰρ ΑΒ οὐκ ἔστι διχοτομία τὸ Ε σημεῖον. οὐκ ἄρα ἡ ΑΓ ἐντὸς πίπτει τῆς τομῆς· ἐφάπτεται ἄρα.

λδ΄.

Ἐὰν ἐπὶ ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας ληφθῇ τι σημεῖον, καὶ ἀπ' αὐτοῦ καταχθῇ εὐθεῖα ἐπὶ τὴν διάμετρον τεταγμένως, καὶ ὃν ἔχουσι λόγον πρὸς ἀλλήλας αἱ ἀποτεμνόμεναι ὑπὸ τῆς κατηγμένης πρὸς τοῖς πέρασι τῆς πλαγίας τοῦ εἴδους

12. τό] (alt.) om. V; corr. p. 14. ὑπό] (alt.) ἄρα ὑπό V; corr. p. 20. τράκις V; corr. cp. 22. ἐντός] ἐκτός V; corr. p. 24. λδ΄] p, om. V, m. 2 v.

nam si fieri potest, cadat intra ut ΓZ, et ordinate ducatur HB. et quoniam est $BH^2 : \Gamma\Delta^2 > ZB^2 : \Gamma\Delta^2$



[Eucl. V, 8], est autem $ZB^2 : \Gamma\Delta^2 = B A^2 : A\Delta^2$ [Eucl. VI, 4], $HB^2 : \Gamma\Delta^2 = BE : \Delta E$ [prop. XX], erit

$$BE : E\Delta > BA^2 : A\Delta^2.$$

est autem

$$BE : E\Delta = 4BE \times EA : 4AE \times E\Delta.$$

quare etiam

$$4BE \times EA : 4AE \times E\Delta > BA^2 : A\Delta^2.$$

permutando igitur

$$4BE \times EA : AB^2 > 4AE \times E\Delta : A\Delta^2;$$

quod fieri non potest; nam quoniam est $AE = E\Delta$, erit $4AE \times E\Delta = A\Delta^2$; est autem $4BE \times EA < BA^2$ [Eucl. II, 5]; neque enim E medium punctum est. itaque $A\Gamma$ intra sectionem non cadit. ergo contingit.

XXXIV.

Si in hyperbola uel ellipsi uel ambitu circuli punctum sumitur, et ab eo recta ordinate ad diametrum ducitur, et quam rationem habent inter se rectae ab ordinate ducta ad terminos lateris transuersi figurae abscisae, eam habent partes lateris transuersi, ita ut πλευρᾶς, τοῦτον ἔχῃ τὰ τμήματα τῆς πλαγίας πλευρᾶς, ὥστε ὁμόλογα εἶναι τὰ πρὸς τῇ κορυφῇ τμήματα, ἡ τὸ ἐπὶ τῆς πλαγίας πλευρᾶς ληφθὲν σημεῖον καὶ τὸ ἐπὶ τῆς τομῆς ἐπιζευγνύουσα εὐθεῖα ἐφάψεται τῆς τομῆς.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ Γ, καὶ ἀπὸ τοῦ Γ τεταγμένως ἤχθω ἡ ΓΔ, καὶ πεποιήσθω ὡς ἡ ΒΔ πρὸς ΔΑ, οὕτως ἡ ΒΕ πρὸς ΕΑ, καὶ ἐπεζεύχθω ἡ ΕΓ. λέγω, ὅτι ἡ ΓΕ ἐφάπτεται τῆς τομῆς.



εἰ γὰρ δυνατόν, τεμνέτω ὡς ἡ ΕΓΖ, καὶ εἰλήφθω τι σημεῖον ἐπ' αὐτῆς τὸ Ζ, καὶ τεταγμένως κατήχθω ἡ ΗΖΘ, καὶ ἤχθωσαν διὰ τῶν Α, Β τῇ ΕΓ παράλληλοι αἱ ΑΛ, ΒΚ, καὶ ἐπιζευχθεῖσαι αἱ ΔΓ, ΒΓ, ΗΓ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Μ, Ξ, Κ σημεῖα. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΒΔ πρὸς ΔΑ, οὕτως ἡ ΒΕ πρὸς ΕΑ, ἀλλ' ὡς μὲν ἡ ΒΔ πρὸς ΔΑ, οὕτως ἡ ΒΚ πρὸς ΑΝ, ὡς δὲ ἡ ΒΕ πρὸς ΑΕ, οὕτως ἡ ΒΓ πρὸς ΓΞ, τουτέστιν ἡ ΒΚ πρὸς ΞΝ, ὡς ἄρα ἡ ΒΚ πρὸς ΑΝ, ἡ ΒΚ πρὸς ΝΞ· ἴση ἄρα ἐστὶν ἡ ΑΝ τῇ ΝΞ. τὸ ἄρα ὑπὸ ΑΝΞ μεῖζόν ἐστι τοῦ ὑπὸ ΑΟΞ. ἡ ΝΞ ἄρα πρὸς ΞΟ μείζονα λόγον ἔχει ἤπερ ἡ ΟΑ πρὸς ΑΝ. ἀλλ' ὡς ἡ ΝΞ πρὸς ΞΟ, ἡ ΚΒ πρὸς ΒΜ· ἡ ΚΒ ἄρα πρὸς ΒΜ μείζονα λόγον ἔχει ἤπερ ἡ ΟΑ πρὸς ΑΝ. τὸ ἄρα ὑπὸ ΚΒ, ΑΝ μεῖζόν ἐστι τοῦ ὑπὸ ΜΒ, ΑΟ. ὥστε τὸ

5. ἢ] ἡ V; corr. p. ἢ] ἡ V; corr. p. 9. πεποιείσθω V; corr. p. 17. ΗΖΘ] ΗΞΘ V; corr. Memus; ΘΖΗ p.

partes ad uerticem positae inter se respondeant, recta punctum in latere transuerso sumptum punctumque in sectione sumptum coniungens sectionem continget.

sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, et in sectione punctum aliquod sumatur Γ, et a Γ ordinate ducatur $\Gamma\Delta$, et fiat $B\Delta : \Delta A = BE : EA$, ducaturque $E\Gamma$. dico, ΓE sectionem contingere.



nam si fieri potest, secet ut $E\Gamma Z$, et in ea punctum aliquod sumatur Z, ordinateque ducatur $HZ\Theta$, et per Δ, B rectae $E\Gamma$ parallelae ducantur $\Delta\Lambda$, BK, et ductae $\Delta\Gamma$, $B\Gamma$, $H\Gamma$ ad puncta M, Ξ, K producantur. et quoniam est

$$B\Delta : \Delta A = BE : EA,$$

est autem etiam

$$B\Delta : \Delta A = BK : \Lambda N \text{ [Eucl. VI, 4]},$$

et [Eucl. VI, 2]

$$BE : AE = B\Gamma : \Gamma\Xi = BK : \Xi N \text{ [Eucl. VI, 4]},$$

erit

$$BK : \Lambda N = BK : N\Xi.$$

itaque $\Lambda N = N\Xi$ [Eucl. V, 9]. quare

$$\Lambda N \times N\Xi > \Lambda O \times O\Xi \text{ [Eucl. II, 5]}.$$

itaque $N\Xi : \Xi O > O\Lambda : \Lambda N$ [u. Eutocius]. est autem

$$N\Xi : \Xi O = KB : BM \text{ [Eucl. VI, 4]}.$$

itaque $KB : BM > O\Lambda : \Lambda N$. quare

$$KB \times \Lambda N > MB \times \Lambda O.$$

itaque $KB \times \Lambda N : \Gamma E^2 > MB \times \Lambda O : \Gamma E^2$ [Eucl. V, 8].

---

19. K, Ξ, M Halley. 25. ἡ $N\Xi$] ἡν ξō V, sed o del. m. 1; corr. cp.

ὑπὸ ΚΒ, ΑΝ πρὸς τὸ ἀπὸ ΓΕ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΜΒ, ΑΟ πρὸς τὸ ἀπὸ ΓΕ. ἀλλ' ὡς μὲν τὸ ὑπὸ ΚΒ, ΑΝ πρὸς τὸ ἀπὸ ΓΕ, οὕτως τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΔΕ διὰ τὴν ὁμοιότητα τῶν ΒΚΔ, ΕΓΔ, ΝΑΔ τριγώνων, ὡς δὲ τὸ ὑπὸ ΜΒ, ΑΟ πρὸς τὸ ἀπὸ ΓΕ, οὕτως ἐστὶ τὸ ὑπὸ ΒΗΑ πρὸς τὸ ἀπὸ ΗΕ· τὸ ἄρα ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΔΕ μείζονα λόγον ἔχει ἤπερ τὸ ὑπὸ ΒΗΑ πρὸς τὸ ἀπὸ ΗΕ. ἐναλλὰξ τὸ ἄρα ὑπὸ ΒΔΑ πρὸς τὸ ὑπὸ ΑΗ, ΒΗ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΗ. ἀλλ' ὡς μὲν τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ὑπὸ ΑΗΒ, οὕτως τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΗΘ, ὡς δὲ τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΗ, οὕτως τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΖΗ· καὶ τὸ ἀπὸ ΓΔ ἄρα πρὸς τὸ ἀπὸ ΘΗ μείζονα λόγον ἔχει ἤπερ τὸ ἀπὸ ΓΔ πρὸς τὸ ἀπὸ ΖΗ. ἐλάσσων ἄρα ἐστὶν ἡ ΘΗ τῆς ΖΗ· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ΕΓ τέμνει τὴν τομήν· ἐφάπτεται ἄρα.

λε'.

Ἐὰν παραβολῆς εὐθεῖα ἐφάπτηται συμπίπτουσα τῇ διαμέτρῳ ἐκτὸς τῆς τομῆς, ἡ ἀπὸ τῆς ἁφῆς εὐθεῖα ἀχθεῖσα τεταγμένως ἐπὶ τὴν διάμετρον ἴσην ἀπολήψεται ἀπὸ τῆς διαμέτρου πρὸς τῇ κορυφῇ τῆς τομῆς τῇ μεταξὺ αὐτῆς καὶ τῆς ἐφαπτομένης, καὶ εἰς τὸν μεταξὺ τόπον τῆς ἐφαπτομένης καὶ τῆς τομῆς οὐδεμία εὐθεῖα παρεμπεσεῖται.

ἔστω παραβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ τεταγμένως ἀνήχθω ἡ ΒΓ, καὶ ἔστω ἐφαπτομένη τῆς τομῆς ἡ ΑΓ. λέγω, ὅτι ἡ ΑΗ ἴση ἐστὶ τῇ ΗΒ.

---

13. ΖΗ — 14. ἀπό] bis V; corr. p. 18. λε'] p, om. V, m. 2 v. 23. αὐτῆς] αὐτῇ V; corr. p.

est autem propter similitudinem triangulorum $BK\Delta$, $E\Gamma\Delta$, $NA\Delta$ [u. Eutocius]

$$KB \times AN : \Gamma E^2 = B\Delta \times \Delta A : \Delta E^2,$$

et $MB \times AO : \Gamma E^2 = BH \times HA : HE^2$. itaque erit $B\Delta \times \Delta A : \Delta E^2 > BH \times HA : HE^2$. permutando



igitur $B\Delta \times \Delta A : BH \times HA > \Delta E^2 : EH^2$. est autem $B\Delta \times \Delta A : BH \times HA = \Gamma\Delta^2 : H\Theta^2$ [prop. XXI] et $\Delta E^2 : EH^2 = \Gamma\Delta^2 : ZH^2$ [Eucl. VI, 4]. itaque etiam $\Gamma\Delta^2 : \Theta H^2 > \Gamma\Delta^2 : ZH^2$. quare $\Theta H < ZH$ [Eucl. V, 8]; quod fieri non potest. ergo $E\Gamma$ sectionem non secat; contingit igitur.

XXXV.

Si parabolam recta contingit cum diametro extra sectionem concurrens, recta a puncto contactus ad diametrum ordinate ducta de diametro ad uerticem sectionis rectam abscindet aequalem rectae inter eum contingentemque positae, et in spatium inter contingentem et sectionem positum nulla recta incidet.

sit parabola, cuius diametrus sit AB, et ordinate ducatur $B\Gamma$, contingatque sectionem $A\Gamma$. dico, esse $AH = HB$.

nam si fieri potest, sit inaequalis, et ponatur $HE = AH$, ducaturque ordinate EZ, et ducatur AZ. AZ igitur εἰ γὰρ δυνατόν, ἔστω ἄνισος αὐτῇ, καὶ τῇ AH ἴση κείσθω η HE, καὶ τεταγμένως ἀνήχθω ἡ EZ, καὶ ἐπεζεύχθω ἡ AZ. ἡ AZ ἄρα ἐκβαλλομένη συμπεσεῖται τῇ $A\Gamma$ εὐθείᾳ· ὅπερ ἀδύνατον· δυεῖν γὰρ ἔσται εὐθειῶν τὰ αὐτὰ πέρατα. οὐκ ἄρα ἄνισός ἐστιν ἡ AH τῇ HB· ἴση ἄρα.

λέγω δή, ὅτι εἰς τὸν μεταξὺ τόπον τῆς τε $A\Gamma$ εὐθείας καὶ τῆς τομῆς οὐδεμία εὐθεῖα παρεμπεσεῖται.

εἰ γὰρ δυνατόν, παρεμπιπτέτω ἡ $\Gamma\Delta$, καὶ τῇ $H\Delta$ ἴση κείσθω ἡ HE, καὶ τεταγμένως ἀνήχθω ἡ EZ. ἡ ἄρα ἀπὸ τοῦ Δ ἐπὶ τὸ Z ἐπιζευγνυμένη εὐθεῖα ἐφάπτεται τῆς τομῆς· ἐκβαλλομένη ἄρα ἐκτὸς πεσεῖται αὐτῆς. ὥστε συμπεσεῖται τῇ $\Delta\Gamma$, καὶ δυεῖν εὐθειῶν ἔσται τὰ αὐτὰ πέρατα· ὅπερ ἄτοπον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς τε τομῆς καὶ τῆς $A\Gamma$ εὐθείας παρεμπεσεῖται εὐθεῖα.

λϛ'.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας ἐφάπτηταί τις εὐθεῖα συμπίπτουσα τῇ πλαγίᾳ τοῦ εἴδους πλευρᾷ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ εὐθεῖα τεταγμένως ἐπὶ τὴν διάμετρον, ἔσται ὡς ἡ ἀπολαμβανομένη ὑπὸ τῆς ἐφαπτομένης πρὸς τῷ πέρατι τῆς πλαγίας πλευρᾶς πρὸς τὴν ἀπολαμβανομένην ὑπὸ τῆς ἐφαπτομένης πρὸς τῷ ἑτέρῳ πέρατι τῆς πλευρᾶς, οὕτως ἡ ἀπολαμβανομένη ὑπὸ τῆς κατηγμένης πρὸς τῷ πέρατι τῆς πλευρᾶς πρὸς τὴν ἀπολαμβανομένην ὑπὸ τῆς κατηγμένης πρὸς τῷ ἑτέρῳ πέρατι τῆς πλευρᾶς, ὥστε τὰς ὁμολόγους συνεχεῖς εἶναι, καὶ εἰς τὸν μεταξὺ τόπον τῆς ἐφαπτομένης καὶ τῆς τοῦ κώνου τομῆς ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται.

---

2. ἡ] (alt.) p, om. V. 17. λϛ'] p, om. V, m. 2 v.

producta cum recta $A\Gamma$ concurret [prop. XXXIII]; quod fieri non potest; ita enim duarum rectarum iidem



termini erunt. itaque AH rectae HB inaequalis non est. ergo aequalis est.

iam dico, in spatium inter rectam $A\Gamma$ et sectionem positum nullam rectam incidere.

nam si fieri potest, incidat $\Gamma\Delta$, ponaturque $HE = H\Delta$, et ordinate ducatur EZ. recta igitur a Δ ad Z ducta sectionem contingit [prop. XXXIII]; producta igitur extra eam cadet. quare cum $\Delta\Gamma$ concurret, et duarum rectarum iidem termini erunt; quod absurdum est. ergo in spatium inter sectionem et rectam $A\Gamma$ positum nulla recta incidet.

XXXVI.

Si hyperbolam uel ellipsim uel ambitum circuli recta contingit cum latere transuerso figurae concurrens, et a puncto contactus ad diametrum ordinate ducitur recta, erit, ut recta a contingenti ad terminum lateris transuersi abscisa ad rectam a contingenti ad alterum terminum lateris transuersi abscisam, ita recta ab ordinate ducta ad terminum lateris abscisa ad rectam ab ordinate ducta ad alterum terminum lateris abscisam, ita ut rectae inter se correspondentes continuae sint, et in spatium inter contingentem et sectionem coni positum alia recta non incidet.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ AB, ἐφαπτομένη δὲ ἔστω ἡ $\Gamma\Delta$, καὶ τεταγμένως κατήχθω ἡ ΓE. λέγω, ὅτι ἐστὶν ὡς ἡ BE πρὸς EA, οὕτως ἡ $B\Delta$ πρὸς ΔA.

εἰ γὰρ μή ἐστιν, ἔστω ὡς ἡ $B\Delta$ πρὸς ΔA, ἡ BH προς HA, καὶ τεταγμένως ἀνήχθω ἡ HZ· ἡ ἄρα ἀπὸ τοῦ Δ ἐπὶ τὸ Z ἐπιζευγνυμένη εὐθεῖα ἐφάψεται τῆς τομῆς· ἐκβαλλομένη ἄρα συμπεσεῖται τῇ $\Gamma\Delta$. δυεῖν ἄρα εὐθειῶν τὰ αὐτὰ πέρατά ἐστιν· ὅπερ ἄτοπον.

λέγω, ὅτι μεταξὺ τῆς τομῆς καὶ τῆς $\Gamma\Delta$ εὐθείας οὐδεμία εὐθεῖα παρεμπεσεῖται.

εἰ γὰρ δυνατόν, παρεμπιπτέτω ὡς ἡ $\Gamma\Theta$, καὶ πεποιήσθω ὡς ἡ $B\Theta$ πρὸς ΘA, ἡ BH πρὸς HA, καὶ τεταγμένως ἀνήχθω ἡ HZ· ἡ ἄρα ἀπὸ τοῦ Θ ἐπὶ τὸ Z ἐπιζευγνυμένη εὐθεῖα ἐκβαλλομένη συμπεσεῖται τῇ $\Theta\Gamma$. δυεῖν ἄρα εὐθειῶν τὰ αὐτὰ πέρατα ἔσται· ὅπερ ἀδύνατον. οὐκ ἄρα εἰς τὸν μεταξὺ τόπον τῆς τε τομῆς καὶ τῆς $\Gamma\Delta$ εὐθείας παρεμπεσεῖται εὐθεῖα.

λζ΄.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὴν διάμετρον καταχθῇ εὐθεῖα τεταγμένως, ἡ ἀπολαμβανομένη εὐθεῖα ὑπὸ τῆς κατηγμένης πρὸς τῷ κέντρῳ τῆς τομῆς μετὰ μὲν τῆς ἀπολαμβανομένης ὑπὸ τῆς ἐφαπτομένης πρὸς τῷ κέντρῳ τῆς τομῆς ἴσον περιέξει τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τῆς τομῆς, μετὰ δὲ τῆς

---

6. HZ] $H\Xi$ cv et ut uidetur V; corr. p. 14. πεποιείσθω V corr. p. 15. ἡ] (alt.) om. V; corr. p. 17. $\Theta\Gamma$] $\Delta\Gamma$ V

sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, contingat autem $\Gamma\Delta$, et ordinate ducatur ΓE. dico, esse $BE : EA = B\Delta : \Delta A$.

nam si minus, sit $B\Delta : \Delta A = BH : HA$, et ordinate ducatur HZ. itaque recta a Δ ad Z ducta sectionem continget [prop. XXXIV]; producta igitur cum $\Gamma\Delta$ concurret. itaque duarum rectarum iidem termini erunt; quod absurdum est.

dico, inter sectionem et rectam $\Gamma\Delta$ nullam rectam incidere.

nam si fieri potest, incidat ut $\Gamma\Theta$, et fiat

$$B\Theta : \Theta A = BH : HA,$$

ordinateque ducatur HZ; recta igitur a Θ ad Z ducta



producta concurret cum $\Theta\Gamma$. itaque duarum rectarum iidem termini erunt; quod fieri non potest. ergo in spatium inter sectionem et rectam $\Gamma\Delta$ nulla recta incidet.

XXXVII.

Si recta hyperbolam uel ellipsim uel ambitum circuli contingeus cum diametro concurrit, et a puncto contactus ad diametrum recta ordinate ducitur, recta ab ordinate ducta ad centrum sectionis abscisa cum recta a contingenti ad centrum sectionis abscisa spatium

corr. p. 20. λζ'] p, om. V, m. 2 v. 22. συμπίπτει V; corr. m. 1. 27. τοῦ] cp, corr. ex τῆς m. 1 V.

μεταξὺ τῆς κατηγμένης καὶ τῆς ἐφαπτομένης περιέξει χωρίον λόγον ἔχον πρὸς τὸ ἀπὸ τῆς κατηγμένης τετράγωνον, ὃν ἡ πλαγία πλευρὰ πρὸς τὴν ὀρθίαν.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ AB, καὶ ἐφαπτομένη ἤχθω ἡ $\Gamma\Delta$, καὶ κατήχθω τεταγμένως ἡ ΓE, κέντρον δὲ ἔστω τὸ Z. λέγω, ὅτι ἴσον ἐστὶ τὸ ὑπὸ ΔZE τῷ ἀπὸ ZB, καὶ ὡς τὸ ὑπὸ ΔEZ πρὸς τὸ ἀπὸ $E\Gamma$, ἡ πλαγία πρὸς τὴν ὀρθίαν.

ἐπεὶ γὰρ ἐφάπτεται ἡ $\Gamma\Delta$ τῆς τομῆς, καὶ τεταγμένως κατῆκται ἡ ΓE, ἔσται, ὡς ἡ $A\Delta$ πρὸς ΔB, ἡ AE πρὸς EB. συνθέντι ἄρα ἐστίν, ὡς συναμφότερος ἡ $A\Delta$, ΔB πρὸς ΔB, οὕτως συναμφότερος ἡ AE, EB πρὸς EB. καὶ τῶν ἡγουμένων τὰ ἡμίση· ἐπὶ μὲν τῆς ὑπερβολῆς ἐροῦμεν· ἀλλὰ συναμφοτέρου μὲν τῆς AE, EB ἡμίσειά ἐστιν ἡ ZE, τῆς δὲ AB ἡ ZB· ὡς ἄρα ἡ ZE πρὸς EB, ἡ ZB πρὸς $B\Delta$. ἀναστρέψαντι ἄρα ἐστίν, ὡς ἡ EZ πρὸς ZB, ἡ ZB πρὸς $Z\Delta$· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ $EZ\Delta$ τῷ ἀπὸ ZB. καὶ ἐπεί ἐστιν, ὡς ἡ ZE πρὸς EB, ἡ ZB πρὸς $B\Delta$, τουτέστιν ἡ AZ πρὸς ΔB, ἐναλλάξ, ὡς ἡ AZ πρὸς ZE, ἡ ΔB πρὸς BE· συνθέντι, ὡς ἡ AE πρὸς EZ, ἡ ΔE πρὸς EB· ὥστε τὸ ὑπὸ AEB ἴσον τῷ ὑπὸ $ZE\Delta$. ἔστι δὲ ὡς τὸ ὑπὸ AEB πρὸς τὸ ἀπὸ ΓE, ἡ πλαγία πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα τὸ ὑπὸ $ZE\Delta$ πρὸς τὸ ἀπὸ ΓE, ἡ πλαγία πρὸς τὴν ὀρθίαν. ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου· ἀλλὰ συναμφοτέρου μὲν τῆς $A\Delta$, ΔB ἡμίσειά ἐστιν ἡ ΔZ, τῆς δὲ AB ἡμίσειά ἐστιν ἡ

8. ΔEZ] $E\Delta Z$ V; corr. Memus. 11. ΓE] E V; corr. Memus. 13. $A\Delta$ — AE] om. V; corr. Memus. 14. μέν] scr. μὲν οὖν.

comprehendet aequale quadrato radii sectionis, cum recta autem inter ordinate ductam et contingentem posita spatium comprehendet, quod ad quadratum ordinate ductae rationem habet, quam latus transuersum ad rectum.



sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, et contingens ducatur $\Gamma\Delta$, ducaturque ordinate ΓE, centrum autem sit Z. dico, esse $\Delta Z \times ZE = ZB^2$, et ut

$$\Delta E \times EZ : E\Gamma^2,$$

ita latus transuersum ad rectum.

nam quoniam $\Gamma\Delta$ sectionem contingit, et ΓE ordinate ducta est, erit $A\Delta : \Delta B = AE : EB$ [prop. XXXVI]. componendo igitur $A\Delta + \Delta B : \Delta B = AE + EB : EB$ [Eucl. V, 18]. et praecedentium dimidia sumantur [Eucl. V, 15]. in hyperbola igitur sic ratiocinabimur: est autem $ZE = \frac{1}{2}(AE + EB)$, $ZB = \frac{1}{2}AB$. itaque $ZE : EB = ZB : \Delta B$. conuertendo igitur [Eucl. V, 19 coroll.] $EZ : ZB = ZB : Z\Delta$. itaque [Eucl. VI, 17] $EZ \times Z\Delta = ZB^2$. et quoniam est

$$ZE : EB = ZB : \Delta B = AZ : \Delta B,$$

permutando est [Eucl. V, 16] $AZ : ZE = \Delta B : BE$. et componendo $AE : EZ = \Delta E : EB$ [Eucl. V, 18]. quare $AE \times EB = ZE \times E\Delta$ [Eucl. VI, 16]. est autem ut $AE \times EB : \Gamma E^2$, ita latus transuersum ad rectum [prop. XXI]. quare etiam ut $ZE \times E\Delta : \Gamma E^2$, ita latus transuersum ad rectum.

ΖΒ· ὡς ἄρα ἡ ΖΔ πρὸς ΔΒ, ἡ ΖΒ πρὸς ΒΕ. ἀναστρέψαντι ἄρα ἐστίν, ὡς ἡ ΔΖ πρὸς ΖΒ, ἡ ΒΖ πρὸς ΖΕ. ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΔΖΕ τῷ ἀπὸ ΒΖ. ἀλλὰ τὸ μὲν ὑπὸ ΔΖΕ ἴσον ἐστὶ τῷ ὑπὸ ΔΕΖ καὶ τῷ ἀπὸ ΖΕ, τὸ δὲ ἀπὸ ΒΖ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΕΒ μετὰ τοῦ ἀπὸ ΖΕ. κοινὸν ἀφῃρήσθω τὸ ἀπὸ ΕΖ· λοιπὸν ἄρα τὸ ὑπὸ ΔΕΖ λοιπῷ τῷ ὑπὸ ΑΕΒ ἴσον ἔσται. ὡς ἄρα τὸ ὑπὸ ΔΕΖ πρὸς τὸ ἀπὸ ΓΕ, οὕτως τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΓΕ. ἀλλ' ὡς τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ἀπὸ ΓΕ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν. ὡς ἄρα τὸ ὑπὸ ΔΕΖ πρὸς τὸ ἀπὸ ΕΓ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν.



λη'.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ δευτέρᾳ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς εὐθεῖα καταχθῇ ἐπὶ τὴν αὐτὴν διάμετρον παράλληλος τῇ ἑτέρᾳ διαμέτρῳ, ἡ ἀπολαμβανομένη εὐθεῖα ὑπὸ τῆς κατηγμένης πρὸς τῷ κέντρῳ τῆς τομῆς μετὰ μὲν τῆς ἀπολαμβανομένης ὑπὸ τῆς ἐφαπτομένης πρὸς τῷ κέντρῳ τῆς τομῆς ἴσον περιέξει τῷ ἀπὸ τῆς ἡμισείας τῆς δευτέρας διαμέτρου τετραγώνῳ, μετὰ δὲ τῆς μεταξὺ τῆς κατηγμένης καὶ τῆς ἐφαπτομένης περιέξει χωρίον λόγον ἔχον πρὸς τὸ ἀπὸ τῆς κατηγμένης, ὃν ἔχει ἡ ὀρθία τοῦ εἴδους πλευρὰ πρὸς τὴν πλαγίαν.

---

3. ἴσον ἄρα ἐστί] c; euan. V, rep. mg. m. rec. 4. τῷ ἀπό] c; euan. V, rep. mg. m. rec. 10. λοιπῷ — 11. ΔΕΖ] om. V; corr. Halley. 15. λη'] p, om. V, m. 2 v. 21. μετά

in ellipsi autem et circulo sic: est autem

$$\varDelta Z = \tfrac{1}{2}(A\varDelta + \varDelta B),\ ZB = \tfrac{1}{2}AB.$$

erit igitur $Z\varDelta : \varDelta B = ZB : BE$. conuertendo igitur est [Eucl. V, 19 coroll.] $\varDelta Z : ZB = BZ : ZE$. itaque [Eucl. VI, 17] $\varDelta Z \times ZE = BZ^2$. est autem

$$\varDelta Z \times ZE = \varDelta E \times EZ + ZE^2$$

[Eucl. II, 3] et $BZ^2 = AE \times EB + ZE^2$ [Eucl. II, 5]. auferatur, quod commune est, EZ^2. itaque erit

$$\varDelta E \times EZ = AE \times EB.$$

erit igitur $\varDelta E \times EZ : \Gamma E^2 = AE \times EB : \Gamma E^2$ [Eucl. V, 7]. uerum ut $AE \times EB : \Gamma E^2$, ita latus transuersum ad rectum [prop. XXI]. ergo ut

$$\varDelta E \times EZ : E\Gamma^2,$$

ita latus transuersum ad rectum.

XXXVIII.

Si recta hyperbolam uel ellipsim uel ambitum circuli contingens cum altera diametro concurrit, et a puncto contactus recta ad eandem diametrum ducitur alteri diametro parallela, recta a recta ita ducta ad centrum sectionis abscisa cum recta a contingenti ad centrum sectionis abscisa spatium comprehendet aequale quadrato dimidiae alterius diametri, cum recta autem inter rectam ad diametrum ductam et contingentem posita spatium comprehendet, quod ad quadratum rectae ad diametrum ductae eam rationem habet, quam habet latus rectum figurae ad transuersum.

μέν] c; euan. V, rep. mg. m. rec. 22. ἐφαπτομένης] cv; ἐφαπτο euan., rep. mg. m. rec. V; νης om. in extr. pag.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΗΒ, δευτέρα δὲ διάμετρος ἡ ΓΗΔ, ἐφαπτομένη δὲ ἔστω τῆς τομῆς ἡ ΕΛΖ συμπίπτουσα τῇ ΓΔ κατὰ τὸ Ζ, παράλληλος δὲ ἔστω τῇ ΑΒ ἡ ΘΕ. λέγω, ὅτι τὸ ὑπὸ ΖΗΘ τῷ ἀπὸ ΗΓ ἐστιν ἴσον, καί ἐστιν ὡς τὸ ὑπὸ ΗΘΖ πρὸς τὸ ἀπὸ ΘΕ, ἡ ὀρθία πρὸς τὴν πλαγίαν.

ἤχθω τεταγμένως ἡ ΜΕ· ἔστιν ἄρα ὡς τὸ ὑπὸ ΗΜΛ πρὸς τὸ ἀπὸ ΜΕ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν. ἀλλ' ἔστιν ὡς ἡ πλαγία ἡ ΒΑ πρὸς ΓΔ, ἡ ΓΔ πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα ἡ πλαγία πρὸς τὴν ὀρθίαν, τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΓΔ· καὶ τὰ τέταρτα, τουτέστι τὸ ἀπὸ ΗΑ πρὸς τὸ ἀπὸ ΗΓ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΗΜΛ πρὸς τὸ ἀπὸ ΜΕ, τὸ ἀπὸ ΗΑ πρὸς τὸ ἀπὸ ΗΓ. τὸ δὲ ὑπὸ ΗΜΛ πρὸς τὸ ἀπὸ ΜΕ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΗΜ πρὸς ΜΕ, τουτέστι πρὸς ΗΘ, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΛΜ πρὸς ΜΕ. ἀνάπαλιν ἄρα ὁ τοῦ ἀπὸ ΓΗ πρὸς τὸ ἀπὸ ΗΑ λόγος συνῆπται ἐκ τοῦ ὃν ἔχει ἡ ΕΜ πρὸς ΜΗ, τουτέστιν ἡ ΘΗ πρὸς ΗΜ, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΕΜ πρὸς ΜΛ, τουτέστιν ἡ ΖΗ πρὸς ΗΛ. τὸ ἄρα ἀπὸ ΗΓ πρὸς τὸ ἀπὸ ΗΑ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ ὃν ἔχει ἡ ΘΗ πρὸς ΗΜ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΖΗ πρὸς ΗΛ, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ὑπὸ ΖΗΘ πρὸς τὸ ὑπὸ ΜΗΛ. ὡς ἄρα τὸ ὑπὸ ΖΗΘ πρὸς τὸ ὑπὸ ΜΗΛ, τὸ ἀπὸ ΓΗ πρὸς τὸ ἀπὸ ΗΑ. καὶ ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ ὑπὸ ΖΗΘ πρὸς τὸ ἀπὸ

---

3. ΕΛΖ] ΛΖ V; corr. Comm. 6. τό] (pr.) cv, ins. m. 1 V. 10. ἡ ΒΑ] scripsi, ΒΑ V. πρὸς ΓΔ] om. V; corr. Memus. 14. ὑπό] ἀπό V; corr. p. 17. ἐκ τοῦ] scripsi, ἐξ οὗ V. 18. τοῦ] om. V; corr. p. τό] om. V; corr. p.

sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AHB, altera autem diametrus $\Gamma H \Delta$, et sectionem contingat $E\Lambda Z$ cum $\Gamma\Delta$ in Z concurrens, et ΘE rectae AB parallela sit. dico, esse

$$ZH \times H\Theta = H\Gamma^2,$$

et ut $H\Theta \times \Theta Z : \Theta E^2$, ita latus rectum ad transuersum.

ordinate ducatur ME. erit igitur [prop. XXXVII] ut $HM \times M\Lambda : ME^2$, ita latus transuersum ad rectum. est autem, ut latus transuersum BA ad $\Gamma\Delta$, ita $\Gamma\Delta$



ad latus rectum [def. alt. 3]. quare etiam, ut latus transuersum ad latus rectum, ita $AB^2 : \Gamma\Delta^2$ [Eucl. V def. 9]; et partes quartae quoque [Eucl. V, 15], h. e. $HA^2 : H\Gamma^2$. quare etiam

$$HM \times M\Lambda : ME^2 = HA^2 : H\Gamma^2.$$

est autem

$HM \times M\Lambda : ME^2 = (HM : ME) \times (\Lambda M : ME)$ $= (HM : H\Theta) \times (\Lambda M : ME)$ [Eucl. I, 34]. itaque e contrario $\Gamma H^2 : HA^2 = (EM : MH) \times (EM : M\Lambda)$ $= (\Theta H : HM) \times (ZH : H\Lambda)$ [Eucl. VI, 4]. est autem $(\Theta H : HM) \times (ZH : H\Lambda) = ZH \times H\Theta : MH \times H\Lambda$. erit igitur $ZH \times H\Theta : MH \times H\Lambda = \Gamma H^2 : HA^2$. et permutando [Eucl. V, 16] igitur

$$ZH \times H\Theta : \Gamma H^2 = MH \times H\Lambda : HA^2.$$

20. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 23. ἐκ τοῦ] (alt.) scripsi; ἐξ οὗ V.

ΓΗ, τὸ ὑπὸ ΜΗΔ πρὸς τὸ ἀπὸ ΗΔ. ἴσον δὲ τὶ ὑπὸ ΜΗΔ τῷ ἀπὸ ΗΔ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΖΗΘ τῷ ἀπὸ ΗΓ.

πάλιν ἐπεί ἐστιν, ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν, τὸ ἀπὸ ΕΜ πρὸς τὸ ὑπὸ ΗΜΔ, καὶ τὸ ἀπὸ ΕΜ πρὸς τὸ ὑπὸ ΗΜΔ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΕΜ πρὸς ΗΜ, τουτέστιν ἡ ΘΗ πρὸς ΘΕ, καὶ τοῦ ὃν ἔχει ἡ ΕΜ πρὸς ΜΔ, τουτέστιν ἡ ΖΗ πρὸς ΗΔ, τουτέστιν ἡ ΖΘ πρὸς ΘΕ, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ὑπὸ ΖΘΗ πρὸς τὸ ἀπὸ ΘΕ, ὡς ἄρα τὸ ὑπὸ ΖΘΗ πρὸς τὸ ἀπὸ ΘΕ, ἡ ὀρθία πρὸς τὴν πλαγίαν.

Τῶν αὐτῶν ὑποκειμένων δεικτέον, ὅτι ἐστίν, ὡς ἡ μεταξὺ τῆς ἐφαπτομένης καὶ τοῦ πέρατος τῆς διαμέτρου ἐπὶ τὰ αὐτὰ τῇ κατηγμένῃ πρὸς τὴν μεταξὺ τῆς ἐφαπτομένης καὶ τῆς δευτέρας διαμέτρου, ἡ μεταξὺ τοῦ ἑτέρου πέρατος καὶ τῆς κατηγμένης πρὸς τὴν μεταξὺ τοῦ ἑτέρου πέρατος καὶ τῆς κατηγμένης.

ἐπεὶ γὰρ ἴσον ἐστὶ τὸ ὑπὸ ΖΗΘ τῷ ἀπὸ ΗΓ, τουτέστι τῷ ὑπὸ ΓΗΔ· ἴση γὰρ ἡ ΓΗ τῇ ΗΔ· τὸ ἄρα ὑπὸ ΖΗΘ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΗΔ· ἔστιν ἄρα ὡς ἡ ΖΗ πρὸς ΗΔ, η ΓΗ πρὸς ΗΘ. καὶ ἀναστρέψαντι, ὡς ἡ ΗΖ πρὸς ΖΔ, ἡ ΗΓ πρὸς ΓΘ. καὶ τὰ διπλᾶ τῶν ἡγουμένων· ἔστι δὲ διπλασία τῆς ΗΖ συναμφότερος ἡ ΓΖ, ΖΔ διὰ τὸ ἴσην εἶναι τὴν ΓΗ τῇ ΗΔ, τῆς δὲ ΗΓ διπλασία ἡ ΓΔ· ὡς ἄρα συναμφότερος ἡ ΓΖΔ πρὸς ΖΔ, ἡ ΔΓ πρὸς ΓΘ. καὶ διελόντι ὡς ἡ ΓΖ πρὸς ΖΔ, ἡ ΔΘ πρὸς ΘΓ· ὅπερ ἔδει δεῖξαι.

---

5. καὶ τό — 6. ΗΜΔ] om. V; corr. Memus. 19. ΖΗΘ] ΖΘΗ V; corr. Memus. 23. ΗΖ] p, Ζ V, ΖΗ c. 25. Ante

est autem $MH \times HΔ = HΔ^2$ [prop. XXXVII]. ergo etiam $ZH \times HΘ = HΓ^2$.

rursus quoniam est, ut latus rectum ad transuersum, ita $EM^2 : HM \times MΔ$, et $EM^2 : HM \times MΔ = (EM : HM) \times (EM : MΔ) = (ΘH : ΘE) \times (ZH : HΔ) = (ΘH : ΘE) \times (ZΘ : ΘE)$

[Eucl. VI, 4] $= ZΘ \times ΘH : ΘE^2$,

erit, ut $ZΘ \times ΘH : ΘE^2$, ita latus rectum ad transuersum.

Iisdem suppositis demonstrandum, quam rationem habeat recta inter contingentem et terminum diametri ad easdem partes uersus posita, in quibus est recta ordinate ducta, ad rectam inter contingentem et alteram diametrum positam, eam habere rectam inter alterum terminum et rectam ordinate ductam positam ad rectam inter alterum terminum et rectam ordinate ductam positam.

nam quoniam est $ZH \times HΘ = HΓ^2$ [u. lin. 2], h. e. $ZH \times HΘ = ΓH \times HΔ$ (nam $ΓH = HΔ$), erit [Eucl. VI, 16] $ZH : HΔ = ΓH : HΘ$. et conuertendo [Eucl. V, 19 coroll.] $ZH : ZΔ = HΓ : ΓΘ$. et praecedentium dupla sumantur [Eucl. V, 15]; est autem $ΓZ + ZΔ = 2HZ$, quia $ΓH = HΔ$, et $ΓΔ = 2HΓ$. itaque $ΓZ + ZΔ : ZΔ = ΔΓ : ΓΘ$. et dirimendo [Eucl. V, 17] $ΓZ : ZΔ = ΔΘ : ΘΓ$; quod erat demonstrandum.

Corollarium.

manifestum igitur ex iis, quae diximus, rectam EZ sectionem contingere, siue sit $ZH \times HΘ = HΓ^2$,

---

διά interponitur in extr. lin. ·V· in V, cui signo nihil nunc respondet. 26. ἡ $ΓΔ$] $HΔ$ V; corr. p.

φανερὸν δὴ ἐκ τῶν εἰρημένων, ὅτι ἡ ΕΖ ἐφάπτεται τῆς τομῆς, ἐάν τε ἴσον ᾖ τὸ ὑπὸ ΖΗΘ τῷ ἀπὸ τῆς ΗΓ, ἐάν τε λόγον ἔχῃ τὸ ὑπὸ ΖΘΗ πρὸς τὸ ἀπὸ ΘΕ τὸν εἰρημένον· δειχθήσεται γὰρ ἀντιστρόφως.

λθ'.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ εὐθεῖα ἐπὶ τὴν διάμετρον τεταγμένως, ἥτις ἂν ληφθῇ τῶν δύο εὐθειῶν, ὧν ἐστιν ἡ μὲν μεταξὺ τῆς κατηγμένης καὶ τοῦ κέντρου τῆς τομῆς, ἡ δὲ μεταξὺ τῆς κατηγμένης καὶ τῆς ἐφαπτομένης, ἕξει πρὸς αὐτὴν ἡ κατηγμένη τὸν συγκείμενον λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ἑτέρα τῶν δύο εὐθειῶν πρὸς τὴν κατηγμένην, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ τοῦ εἴδους ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, κέντρον δὲ αὐτῆς τὸ Ζ, καὶ ἐφαπτομένη ἤχθω τῆς τομῆς ἡ ΓΔ, καὶ τεταγμένως κατήχθω ἡ ΓΕ. λέγω, ὅτι ἡ ΓΕ πρὸς τὴν ἑτέραν τῶν ΖΕ, ΕΔ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ἑτέρα τῶν ΖΕ, ΕΔ πρὸς τὴν ΕΓ.

ἔστω γὰρ ἴσον τὸ ὑπὸ ΖΕΔ τῷ ὑπὸ ΕΓ, Η. καὶ ἐπεί ἐστιν, ὡς τὸ ὑπὸ ΖΕΔ πρὸς τὸ ἀπὸ ΓΕ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ἴσον δέ ἐστι τὸ ὑπὸ ΖΕΔ τῷ ὑπὸ ΓΕ, Η, ὡς ἄρα τὸ ὑπὸ ΓΕ, Η πρὸς τὸ ἀπὸ ΓΕ, τουτέστιν ἡ Η πρὸς ΕΓ, ἡ πλαγία πρὸς τὴν

3. ΖΘΗ] ΖΗΘ V; corr. Memus. 5. λθ'] p, om. V, m. 2 v. 9. δύο] p, $\overline{\beta}$ Vc. 13. ὅν] cp, ο e corr. m. 1 V. 14. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 21. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 26. τῷ ὑπό ΓΕ, Η] om. V; corr. p (τῶν $\overline{εγ}$ $\overline{η}$).

siue $Z\Theta \times \Theta H$ ad ΘE^2 rationem habeat, quam diximus; e contrario enim demonstrabitur.

XXXIX.

Si recta hyperbolam uel ellipsim uel ambitum circuli contingens cum diametro concurrit, et a puncto contactus ad diametrum recta ordinate ducitur, utracunque recta sumpta erit, aut quae inter rectam ordinate ductam centrumque sectionis posita est, aut quae inter ordinate ductam contingentemque, recta ordinate ducta ad eam rationem habebit compositam ex ea, quam habet altera rectarum illarum ad ordinate ductam, eaque, quam habet latus rectum figurae ad transuersum.

sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, centrum autem eius sit Z, et ducatur sectionem contingens $\Gamma\Delta$, ordinateque ducatur ΓE.



dico, ΓE ad alterutram rectarum ZE, $E\Delta$ rationem habere compositam ex ea, quam habet latus rectum ad transuersum, eaque, quam habet altera rectarum ZE, $E\Delta$ ad $E\Gamma$.

sit enim $ZE \times E\Delta = E\Gamma \times H$. et quoniam est [prop. XXXVII], ut $ZE \times E\Delta : \Gamma E^2$, ita latus transuersum ad rectum, et $ZE \times E\Delta = \Gamma E \times H$, erit ὀρθίαν. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ὑπὸ ΖΕΔ τῷ ὑπὸ ΓΕ, Η, ἔστιν ὡς ἡ ΕΖ πρὸς ΕΓ, ἡ Η πρὸς ΕΔ. καὶ ἐπεὶ ἡ ΓΕ πρὸς ΕΔ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΓΕ πρὸς Η καὶ τοῦ ὃν ἔχει ἡ Η πρὸς ΕΔ, ἀλλ' ἔστιν ὡς μὲν ἡ ΓΕ πρὸς Η, ἡ ὀρθία πρὸς τὴν πλαγίαν, ὡς δὲ ἡ Η πρὸς ΔΕ, ἡ ΖΕ πρὸς ΕΓ, ἡ ΓΕ ἄρα πρὸς ΕΔ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν καὶ ἡ ΖΕ πρὸς ΕΓ.

μ'.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ δευτέρᾳ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ εὐθεῖα ἐπὶ τὴν αὐτὴν διάμετρον παράλληλος τῇ ἑτέρᾳ διαμέτρῳ, ἥτις ἂν ληφθῇ τῶν δύο εὐθειῶν, ὧν ἐστιν ἡ μὲν μεταξὺ τῆς κατηγμένης καὶ τοῦ κέντρου τῆς τομῆς, ἡ δὲ μεταξὺ τῆς κατηγμένης καὶ τῆς ἐφαπτομένης, ἕξει πρὸς αὐτὴν ἡ κατηγμένη τὸν συγκείμενον λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ πλαγία πρὸς τὴν ὀρθίαν, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ἑτέρα τῶν δύο εὐθειῶν πρὸς τὴν κατηγμένην.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια ἡ ΑΒ, διάμετρος δὲ αὐτῆς ἡ ΒΖΓ, δευτέρα δὲ ἡ ΔΖΕ, καὶ ἐφαπτομένη ἤχθω ἡ ΘΛΑ, καὶ τῇ ΒΓ παράλληλος ἡ ΑΗ. λέγω, ὅτι ἡ ΑΗ πρὸς τὴν ἑτέραν τῶν ΘΗ, ΖΗ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ πλαγία πρὸς τὴν ὀρθίαν καὶ ἡ ἑτέρα τῶν ΘΗ, ΖΗ πρὸς τὴν ΗΑ.

2. Η] (pr.) Δ V; corr. p. 6. ΔΕ] ΔΕΓ uel ΔΕΔ V, ΔΕΔ c; corr. p. 10. μ'] p, om. V, m. 2 v. 17. ἕξει] om. V; corr. Memus. 19. ἐκ τοῦ] scripsi; ἐξ οὗ V. 23. ΒΓ] ΑΓ V; corr. p (Β e corr.).

ut $\Gamma E \times H : \Gamma E^2$, h. e. ut $H : E\Gamma$, ita latus transuersum ad rectum. et quoniam est

$$ZE \times E\Delta = \Gamma E \times H,$$

erit [Eucl. VI, 16] $EZ : E\Gamma = H : E\Delta$. et quoniam est $\Gamma E : E\Delta = (\Gamma E : H) \times (H : E\Delta)$, et est, ut $\Gamma E : H$, ita latus rectum ad transuersum, et

$$H : \Delta E = ZE : E\Gamma,$$

$\Gamma E : E\Delta$ rationem habet compositam ex ea, quam habet latus rectum ad transuersum, eaque, quam habet ZE ad $E\Gamma$.

XL.

Si recta hyperbolam uel ellipsim uel ambitum circuli contingens cum altera diametro concurrit, et a puncto contactus recta ad eandem diametrum ducitur alteri diametro parallela, utracunque recta sumpta erit, aut quae inter rectam ad diametrum ductam centrumque sectionis posita est, aut quae inter rectam illam contingentemque est, ad eam recta ad diametrum ducta rationem habebit compositam ex ea, quam habet latus transuersum ad rectum, eaque, quam habet altera rectarum illarum ad rectam ad diametrum ductam.



sit hyperbola uel ellipsis uel ambitus circuli AB, diametrus autem eius $BZ\Gamma$ et diametrus altera ΔZE, ducaturque contingens $\Theta\Lambda A$ et rectae $B\Gamma$ parallela ἔστω τῷ ὑπὸ ΘΗΖ ἴσον τὸ ὑπὸ ΗΑ, Κ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν, τὸ ὑπὸ ΘΗΖ πρὸς τὸ ἀπὸ ΗΑ, τῷ δὲ ὑπὸ ΘΗΖ ἴσον τὸ ὑπὸ ΗΑ, Κ, καὶ τὸ ὑπὸ ΗΑ, Κ ἄρα πρὸς τὸ ἀπὸ ΗΑ, τουτέστιν ἡ Κ πρὸς ΑΗ, ἔστιν ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν. καὶ ἐπεὶ ἡ ΑΗ πρὸς ΗΖ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΑΗ πρὸς Κ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ Κ πρὸς ΗΖ, ἀλλ' ὡς μὲν ἡ ΗΑ πρὸς Κ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν, ὡς δὲ ἡ Κ πρὸς ΗΖ, ἡ ΘΗ πρὸς ΗΑ διὰ τὸ ἴσον εἶναι τὸ ὑπὸ ΘΗΖ τῷ ὑπὸ ΑΗ, Κ, ἡ ΑΗ ἄρα πρὸς ΗΖ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ πλαγία πρὸς τὴν ὀρθίαν, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΗΘ πρὸς ΗΑ.

μα'.

Ἐὰν ἐν ὑπερβολῇ ἢ ἐλλείψει ἢ κύκλου περιφερείᾳ εὐθεῖα καταχθῇ τεταγμένως ἐπὶ τὴν διάμετρον, καὶ ἀπό τε τῆς τεταγμένης καὶ τῆς ἐκ τοῦ κέντρου ἀναγραφῇ εἴδη παραλληλόγραμμα ἰσογώνια, ἔχῃ δὲ ἡ κατηγμένη πλευρὰ πρὸς τὴν λοιπὴν τοῦ εἴδους πλευρὰν τὸν συγκείμενον λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ἐκ τοῦ κέντρου πρὸς τὴν λοιπὴν τοῦ εἴδους πλευράν, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ τοῦ εἴδους τῆς τομῆς ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν, τὸ ἀπὸ τῆς μεταξὺ τοῦ κέντρου καὶ τῆς κατηγμένης εἶδος τὸ ὅμοιον τῷ ἀπὶ τῆς ἐκ τοῦ κέντρου εἴδει ἐπὶ μὲν τῆς ὑπερβολῆς μεῖζόν ἐστι τοῦ ἀπὸ τῆς κατηγμένης εἴδους τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου εἴδει, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου

1. ΘΗΖ] ΘΖΗ V; corr. p (τῶν ΘΗ, ΗΖ). 7. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 13. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 14. μα'] p, om. V, m. 2 v. 21. τήν] p, om. V. λοιπὴν τήν c. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley.

AH. dico, AH ad alterutram rectarum ΘH, ZH rationem habere compositam ex ea, quam habet latus transuersum ad rectum, eaque, quam habet altera rectarum ΘH, ZH ad HA.

sit $HA \times K = \Theta H \times HZ$. et quoniam est, ut latus rectum ad transuersum, ita $\Theta H \times HZ : HA^2$ [prop. XXXVIII], et $HA \times K = \Theta H \times HZ$, erit etiam, ut $HA \times K : HA^2$, h. e. ut $K : AH$, ita latus rectum ad transuersum. et quoniam est

$$AH : HZ = (AH : K) \times (K : HZ),$$

et ut $HA : K$, ita latus transuersum ad rectum, et $K : HZ = \Theta H : HA$, quia $\Theta H \times HZ = AH \times K$ [Eucl. VI, 16], $AH : HZ$ rationem habet compositam ex ea, quam habet latus transuersum ad rectum, eaque, quam habet $H\Theta$ ad HA.

XLI.

Si in hyperbola uel ellipsi uel ambitu circuli recta ad diametrum ordinate ducitur, et in recta ordinate ducta radioque figurae parallelogrammae aequiangulae describuntur, latus autem ordinate ductum ad reliquum latus figurae rationem habet compositam ex ea, quam habet radius ad reliquum latus figurae, eaque, quam habet latus rectum figurae sectionis ad transuersum, figura in recta inter centrum rectamque ordinate ductam posita descripta similis figurae in radio descriptae in hyperbola excedit figuram in ordinate ducta descriptam figura in radio descripta, in ellipsi uero ambituque circuli adiuncta figura in ordinate ducta descripta aequalis est figurae in radio descriptae.

περιφερείας μετὰ τοῦ ἀπὸ τῆς κατηγμένης εἴδους ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου εἴδει.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, κέντρον δὲ τὸ Ε, καὶ τεταγμένως κατήχθω ἡ ΓΔ, καὶ ἀπὸ τῶν ΕΑ, ΓΔ ἰσογώνια εἴδη ἀναγεγράφθω τὰ ΑΖ, ΔΗ, καὶ ἡ ΓΔ πρὸς τὴν ΓΗ τὸν συγκείμενον ἐχέτω λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΑΕ πρὸς ΕΖ, καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν. λέγω, ὅτι ἐπὶ μὲν τῆς ὑπερβολῆς τὸ ἀπὸ τῆς ΕΔ εἶδος τὸ ὅμοιον τῷ ΑΖ ἴσον ἐστὶ τοῖς ΑΖ, ΗΔ, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου τὸ ἀπὸ τῆς ΕΔ ὅμοιον τῷ ΑΖ μετὰ τοῦ ΗΔ ἴσον ἐστὶ τῷ ΑΖ.

πεποιήσθω γάρ, ὡς ἡ ὀρθία πρὸς τὴν πλαγίαν, ἡ ΔΓ πρὸς ΓΘ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΔΓ πρὸς ΓΘ, ἡ ὀρθία πρὸς τὴν πλαγίαν, ἀλλ' ὡς ἡ ΔΓ πρὸς ΓΘ, τὸ ἀπὸ τῆς ΔΓ πρὸς τὸ ὑπὸ τῶν ΔΓΘ, ὡς δὲ ἡ ὀρθία πρὸς τὴν πλαγίαν, τὸ ἀπὸ ΔΓ πρὸς τὸ ὑπὸ ΒΔΑ, ἴσον ἄρα τὸ ὑπὸ ΒΔΑ τῷ ὑπὸ ΔΓΘ. καὶ ἐπεὶ ἡ ΔΓ πρὸς ΓΗ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΑΕ πρὸς ΕΖ καὶ τοῦ ὃν ἔχει ἡ ὀρθία πρὸς τὴν πλαγίαν, τουτέστιν ἡ ΔΓ πρὸς ΓΘ, ἔτι δὲ ἡ ΔΓ πρὸς ΓΗ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ ὃν ἔχει ἡ ΔΓ πρὸς ΓΘ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΘΓ πρὸς ΓΗ, ὁ ἄρα συγκείμενος λόγος ἔκ τε τοῦ ὃν ἔχει ἡ ΑΕ πρὸς ΕΖ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΔΓ πρὸς ΓΘ ὁ αὐτός ἐστι τῷ συγκειμένῳ λόγῳ ἔκ τε τοῦ ὃν ἔχει ἡ ΔΓ πρὸς ΓΘ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ ΘΓ πρὸς ΓΗ. κοινὸς ἀφῃρήσθω ὁ τῆς ΓΔ πρὸς ΓΘ·

8. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 13. πεποιείσθω V; corr. p. 23. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 25. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 27. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley.

sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, centrum autem E, et ordinate ducatur $\Gamma\Delta$, et in EA, $\Gamma\Delta$ figurae aequiangulae describantur AZ, ΔH, rationemque habeat $\Gamma\Delta : \Gamma H$ compositam ex ea, quam habet $AE : EZ$, eaque, quam



habet latus rectum ad transuersum. dico, in hyperbola figuram in $E\Delta$ descriptam similem figurae AZ aequalem esse figuris $AZ + H\Delta$, in ellipsi autem et circulo figuram in $E\Delta$ descriptam figurae AZ similem adiuncta figura $H\Delta$ aequalem esse figurae AZ.

fiat enim, ut latus rectum ad transuersum, ita $\Delta\Gamma$ ad $\Gamma\Theta$. et quoniam est, ut $\Delta\Gamma : \Gamma\Theta$, ita latus rectum ad transuersum, est autem $\Delta\Gamma : \Gamma\Theta = \Delta\Gamma^2 : \Delta\Gamma \times \Gamma\Theta$, et ut latus rectum ad transuersum, ita $\Delta\Gamma^2$ ad $B\Delta \times \Delta A$ [prop. XXI], erit $B\Delta \times \Delta A = \Delta\Gamma \times \Gamma\Theta$ [Eucl. V, 9]. et quoniam $\Delta\Gamma : \Gamma H$ rationem habet compositam ex ea, quam habet $AE : EZ$, eaque, quam habet latus rectum ad transuersum, h. e. $\Delta\Gamma : \Gamma\Theta$, et praeterea est $\Delta\Gamma : \Gamma H = (\Delta\Gamma : \Gamma\Theta) \times (\Theta\Gamma : \Gamma H)$, erit
$(AE : EZ) \times (\Delta\Gamma : \Gamma\Theta) = (\Delta\Gamma : \Gamma\Theta) \times (\Theta\Gamma : \Gamma H)$.
auferatur, quae communis est, ratio $\Gamma\Delta : \Gamma\Theta$. itaque $AE : EZ = \Theta\Gamma : \Gamma H$. est autem

$$\Theta\Gamma : \Gamma H = \Theta\Gamma \times \Gamma\Delta : H\Gamma \times \Gamma\Delta,$$

λοιπὸς ἄρα ὁ τῆς ΑΕ πρὸς ΕΖ λόγος λοιπῷ τῷ τῆς ΘΓ πρὸς ΓΗ λόγῳ ἐστὶν ὁ αὐτός. ἀλλ' ὡς μὲν ἡ ΘΓ πρὸς ΓΗ, τὸ ὑπὸ ΘΓΔ πρὸς τὸ ὑπὸ ΗΓΔ, ὡς δὲ ἡ ΑΕ πρὸς ΕΖ, τὸ ἀπὸ ΑΕ πρὸς τὸ ὑπὸ ΑΕΖ· ὡς ἄρα τὸ ὑπὸ ΘΓΔ πρὸς τὸ ὑπὸ ΗΓΔ, τὸ ἀπὸ ΕΑ πρὸς τὸ ὑπὸ ΑΕΖ. τὸ δὲ ὑπὸ ΘΓΔ ἴσον ἐδείχθη τῷ ὑπὸ ΒΔΑ· ὡς ἄρα τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ὑπὸ ΗΓΔ, τὸ ἀπὸ ΑΕ πρὸς τὸ ὑπὸ ΑΕΖ. ἐναλλάξ, ὡς τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΑΕ, τὸ ὑπὸ ΗΓΔ πρὸς τὸ ὑπὸ ΑΕΖ. ὡς δὲ τὸ ὑπὸ ΗΓΔ πρὸς τὸ ὑπὸ ΑΕΖ, τὸ ΔΗ παραλληλόγραμμον πρὸς τὸ ΖΑ· ἰσογώνια γάρ ἐστι καὶ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν τῆς ΗΓ πρὸς ΑΕ καὶ τῆς ΓΔ πρὸς ΕΖ· καὶ ὡς ἄρα τὸ ὑπὸ ΒΔΑ πρὸς τὸ ἀπὸ ΕΑ, τὸ ΗΔ πρὸς ΑΖ.

λεκτέον τοίνυν ἐπὶ μὲν τῆς ὑπερβολῆς· [ὡς πάντα πρὸς πάντα, ἓν πρὸς ἕν] ὡς ἄρα τὸ ὑπὸ ΒΔΑ μετὰ τοῦ ἀπὸ ΑΕ πρὸς τὸ ἀπὸ ΑΕ, τουτέστι τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΕΑ, οὕτως τὰ ΗΔ, ΑΖ πρὸς τὸ ΑΖ. ὡς δὲ τὸ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΕΑ, οὕτως τὸ ἀπὸ ΕΔ εἶδος τὸ ὅμοιον καὶ ὁμοίως ἀναγεγραμμένον τῷ ΑΖ πρὸς τὸ ΑΖ· ὡς ἄρα τὰ ΗΔ, ΑΖ πρὸς τὸ ΑΖ, οὕτως τὸ ἀπὸ ΕΔ εἶδος ὅμοιον τῷ ΑΖ πρὸς τὸ ΑΖ. τὸ ἀπὸ ΕΔ ἄρα εἶδος τὸ ὅμοιον τῷ ΑΖ ἴσον ἐστὶ τοῖς ΗΔ, ΑΖ.

ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου περιφερείας ἐροῦμεν· ἐπεὶ οὖν ὡς ὅλον ἐστὶ τὸ ἀπὸ ΑΕ πρὸς ὅλον τὸ ΑΖ, οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΑΔΒ πρὸς ἀφαιρεθὲν τὸ ΔΗ, καὶ λοιπόν ἐστι πρὸς λοιπόν, ὡς ὅλον πρὸς ὅλον. ἀπὸ δὲ τοῦ ἀπὸ ΕΑ ἐὰν ἀφ-

15. ὡς πάντα — 16. ἕν] falsa sunt; debuit enim συνθέντι dici; del. Comm. in notis fol. 30ᵛ. 17. τουτέστι — 18. ΕΑ]

$\varDelta E : EZ = \varDelta E^2 : \varDelta E \times EZ$. itaque erit

$$\Theta\Gamma \times \Gamma\varDelta : H\Gamma \times \Gamma\varDelta = E\varDelta^2 : \varDelta E \times EZ.$$

demonstrauimus autem, esse $\Theta\Gamma \times \Gamma\varDelta = B\varDelta \times \varDelta A$. erit igitur $B\varDelta \times \varDelta A : H\Gamma \times \Gamma\varDelta = \varDelta E^2 : \varDelta E \times EZ$. permutando [Eucl. V, 16]

$$B\varDelta \times \varDelta A : \varDelta E^2 = H\Gamma \times \Gamma\varDelta : \varDelta E \times EZ.$$

est autem $H\Gamma \times \Gamma\varDelta : \varDelta E \times EZ = \varDelta H : Z\varDelta$ [Eucl. VI, 23]; nam parallelogramma aequiangula sunt et rationem habent ex lateribus compositam $H\Gamma : \varDelta E$ et $\Gamma\varDelta : EZ$. quare etiam $B\varDelta \times \varDelta A : E\varDelta^2 = H\varDelta : \varDelta Z$.

dicendum igitur in hyperbola:

$$B\varDelta \times \varDelta A + \varDelta E^2 : \varDelta E^2 = H\varDelta + \varDelta Z : \varDelta Z$$

[Eucl. V, 18], h. e. [Eucl. II, 6]

$$\varDelta E^2 : E\varDelta^2 = H\varDelta + \varDelta Z : \varDelta Z.$$

est autem, ut $E\varDelta^2 : E\varDelta^2$, ita figura in $E\varDelta$ similis et similiter descripta figurae $\varDelta Z$ ad $\varDelta Z$ [Eucl. VI, 20 coroll.]. itaque ut $H\varDelta + \varDelta Z : \varDelta Z$, ita figura in $E\varDelta$ descripta figurae $\varDelta Z$ similis ad $\varDelta Z$. ergo figura in $E\varDelta$ descripta figurae $\varDelta Z$ similis figuris $H\varDelta + \varDelta Z$ aequalis est.

in ellipsi uero et ambitu circuli dicemus: quoniam est $\varDelta E^2 : \varDelta Z = A\varDelta \times \varDelta B : \varDelta H$ [Eucl. V, 16], erit etiam, ut totum ad totum, ita reliquum ad reliquum [Eucl. V, 19]. sin ab $E\varDelta^2$ aufertur $B\varDelta \times \varDelta A$, relinquitur $\varDelta E^2$ [Eucl. II, 5]. itaque

$$\varDelta E^2 : \varDelta Z \div \varDelta H = \varDelta E^2 : \varDelta Z.$$

est autem, ut $\varDelta E^2 : \varDelta Z$, ita $\varDelta E^2$ ad figuram in $\varDelta E$

---

bis V (altero loco $E\varDelta$ pro $\varDelta E$); corr. p. 23. $E\varDelta$] EZ V; corr. p ($\tau\tilde{\eta}\varsigma$ $E\varDelta$).

αιρεθῇ τὸ ὑπὸ ΒΔΑ, λοιπόν ἐστι τὸ ἀπὸ ΔΕ· ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὴν ὑπεροχήν, ἣν ὑπερέχει τὸ ΑΖ τοῦ ΔΗ, οὕτως τὸ ἀπὸ ΑΕ πρὸς τὸ ΑΖ. ἀλλ' ὡς τὸ ἀπὸ ΑΕ πρὸς τὸ ΑΖ, οὕτως τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΔΕ εἶδος ὅμοιον τῷ ΑΖ· ὡς ἄρα τὸ ἀπὸ ΔΕ πρὸς τὴν ὑπεροχήν, ἣν ὑπερέχει τὸ ΑΖ τοῦ ΔΗ, οὕτως τὸ ἀπὸ ΔΕ πρὸς τὸ ἀπὸ ΔΕ εἶδος τὸ ὅμοιον τῷ ΑΖ. ἴσον ἄρα τὸ ἀπὸ τῆς ΔΕ εἶδος ὅμοιον τῷ ΑΖ τῇ ὑπεροχῇ, ἣν ὑπερέχει τὸ ΑΖ τοῦ ΔΗ. μετὰ τοῦ ΔΗ ἄρα ἴσον ἐστὶ τῷ ΑΖ.

μβ'.

Ἐὰν παραβολῆς εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς εὐθεῖα καταχθῇ ἐπὶ τὴν διάμετρον τεταγμένως, ληφθέντος δέ τινος ἐπὶ τῆς τομῆς σημείου καταχθῶσιν ἐπὶ τὴν διάμετρον δύο εὐθεῖαι, καὶ ἡ μὲν αὐτῶν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν ἀπὸ τῆς ἁφῆς κατηγμένην, τὸ γινόμενον ὑπ' αὐτῶν τρίγωνον ἴσον ἐστὶ τῷ περιεχομένῳ παραλληλογράμμῳ ὑπό τε τῆς ἀπὸ τῆς ἁφῆς κατηγμένης καὶ τῆς ἀπολαμβανομένης ὑπὸ τῆς παραλλήλου πρὸς τῇ κορυφῇ τῆς τομῆς.

ἔστω παραβολή, ἧς διάμετρος ἡ ΑΒ, καὶ ἤχθω ἐφαπτομένη τῆς τομῆς ἡ ΑΓ, καὶ τεταγμένως κατήχθω ἡ ΓΘ, καὶ ἀπό τινος σημείου τυχόντος κατήχθω ἡ ΔΖ, καὶ διὰ μὲν τοῦ Δ τῇ ΑΓ παράλληλος ἤχθω ἡ ΔΕ, διὰ δὲ τοῦ Γ τῇ ΒΖ ἡ ΓΗ, διὰ δὲ τοῦ Β τῇ ΘΓ ἡ ΒΗ. λέγω, ὅτι τὸ ΔΕΖ τρίγωνον ἴσον ἐστὶ τῷ ΗΖ παραλληλογράμμῳ.

ἐπεὶ γὰρ τῆς τομῆς ἐφάπτεται ἡ ΑΓ, καὶ τεταγμένως

2. ἄρα] ἄρα οὖν V; corr. Halley. ἥ p, Halley. 3. τό] (pr.) τοῦ V; corr. p. ΑΖ] cv, α $\overline{\alpha\zeta}$ V, mg. α m. rec.

descriptam figurae AZ similem [Eucl. VI, 20 coroll.; V, 16]. quare ut $\Delta E^2 : AZ \div \Delta H$, ita ΔE^2 ad figuram in ΔE descriptam figurae AZ similem. itaque figura in ΔE descripta figurae AZ similis aequalis est differentiae $AZ \div \Delta H$ [Eucl. V, 9]. ergo adiuncta figura ΔH figurae AZ aequalis est.

XLII.

Si recta parabolam contingens cum diametro concurrit, et a puncto contactus recta ad diametrum ordinate ducitur, sumpto autem in sectione puncto aliquo ad diametrum ducuntur duae rectae, altera contingenti, altera rectae a puncto contactus ordinate ductae parallela, triangulus ab his effectus aequalis est parallelogrammo comprehenso recta a puncto contactus ordinate ducta rectaque a parallela ad uerticem sectionis abscisa.

sit parabola, cuius diametrus sit AB, et sectionem contingens ducatur $A\Gamma$, ordinateque ducatur $\Gamma\Theta$, et a puncto aliquo ducatur ΔZ, ducaturque per Δ rectae $A\Gamma$ parallela ΔE, per Γ autem rectae BZ parallela ΓH, per B autem rectae $\Theta\Gamma$ parallela BH. dico, esse $\Delta EZ = HZ$.



nam quoniam $A\Gamma$ sectionem contingit, et $\Gamma\Theta$ ordinate ducta est, erit [prop. XXXV] $AB = B\Theta$. itaque $A\Theta = 2\Theta B$. quare $A\Theta\Gamma = B\Gamma$

6. ἤ Halley. 9. ἤ p, Halley. 10. ἄρα] addidi; om. V; ante μετά lin. 9 add. τὸ ἄρα ἀπὸ ΔE εἶδος τὸ ὅμοιον τῷ AZ Halley cum Memo. 11. μβ′] p, om. V, m. 2 v. 12. παραβολῇ V; corr. Halley. 14. ἐπὶ τῆς] c, insert. m. 1 V.

κατῆκται ἡ ΓΘ, ἴση ἐστὶν ἡ ΑΒ τῇ ΒΘ· διπλασία ἄρα ἐστὶν ἡ ΑΘ τῆς ΘΒ. τὸ ΑΘΓ ἄρα τρίγωνον τῷ ΒΓ παραλληλογράμμῳ ἐστὶν ἴσον. καὶ ἐπεί ἐστιν, ὡς τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΔΖ, ἡ ΘΒ πρὸς ΒΖ διὰ τὴν τομήν, ἀλλʼ ὡς μὲν τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΔΖ, τὸ ΑΓΘ τρίγωνον πρὸς τὸ ΕΔΖ τρίγωνον, ὡς δὲ ἡ ΘΒ πρὸς ΒΖ, τὸ ΗΘ παραλληλόγραμμον πρὸς τὸ ΗΖ παραλληλόγραμμον, ἔστιν ἄρα ὡς τὸ ΑΓΘ τρίγωνον πρὸς τὸ ΕΔΖ τρίγωνον, τὸ ΘΗ παραλληλόγραμμον πρὸς τὸ ΖΗ παραλληλόγραμμον. ἐναλλὰξ ἄρα ἐστίν, ὡς τὸ ΑΘΓ τρίγωνον πρὸς τὸ ΒΓ παραλληλόγραμμον, τὸ ΕΔΖ τρίγωνον πρὸς τὸ ΗΖ παραλληλόγραμμον. ἴσον δὲ τὸ ΑΓΘ τρίγωνον τῷ ΗΘ παραλληλογράμμῳ· ἴσον ἄρα ἐστὶ τὸ ΕΔΖ τρίγωνον τῷ ΗΖ παραλληλογράμμῳ.

μγ΄.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ εὐθεῖα τεταγμένως ἐπὶ τὴν διάμετρον, καὶ ταύτῃ διὰ τῆς κορυφῆς παράλληλος ἀχθῇ συμπίπτουσα τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένῃ εὐθείᾳ, ληφθέντος δέ τινος σημείου ἐπὶ τῆς τομῆς ἀχθῶσι δύο εὐθεῖαι ἐπὶ τὴν διάμετρον, ὧν ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν ἀπὸ τῆς ἁφῆς κατηγμένην, τὸ γινόμενον ὑπʼ αὐτῶν τρίγωνον ἐπὶ τῆς ὑπερβολῆς, οὗ ἀποτέμνει τριγώνου ἡ διὰ τοῦ κέντρου καὶ τῆς ἁφῆς, ἔλασσον ἔσται τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τῷ ὁμοίῳ τῷ ἀποτεμνομένῳ, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τῆς τοῦ κύκλου περιφερείας μετὰ τοῦ ἀποτεμνο-

2. ΘΒ] $\overline{\tau\vartheta\beta}$ V; corr. p. 7. πρὸς τὸ ΗΖ παραλληλόγραμμον] om. V; corr. p. 10. πρός] τῆς πρός V; corr. p.

[Eucl. I, 41]. et quoniam est $\Gamma\Theta^2 : \Delta Z^2 = \Theta B : BZ$ proper sectionem [prop. XX], et

$$\Gamma\Theta^2 : \Delta Z^2 = A\Gamma\Theta : E\Delta Z \text{ [Eucl. VI, 19]},$$
$$\Theta B : BZ = H\Theta : HZ \text{ [Eucl. VI, 1]},$$

erit

$$A\Gamma\Theta : E\Delta Z = \Theta H : ZH.$$

permutando igitur [Eucl. V, 16]

$$A\Theta\Gamma : B\Gamma = E\Delta Z : HZ.$$

est autem $A\Gamma\Theta = H\Theta$. ergo $E\Delta Z = HZ$.

XLIII.

Si recta hyperbolam uel ellipsim uel ambitum circuli contingens cum diametro concurrit, et a puncto contactus recta ad diametrum ordinate ducitur, per uerticem autem huic parallela ducitur recta cum recta per punctum contactus centrumque ducta concurrens, et sumpto in sectione puncto aliquo duae rectae ad diametrum ducuntur, quarum altera rectae contingenti, altera rectae a puncto contactus ordinate ductae parallela est, triangulus ab his effectus in hyperbola triangulo a recta per centrum punctumque contactus ducta absciso minor erit triangulo in radio descripto simili triangulo illi absciso, in ellipsi autem ambituque circuli adiuncto triangulo ad centrum absciso aequalis erit triangulo in radio descripto simili triangulo illi absciso.

---

12. τό (pr.) — παραλληλόγραμμον] om. V; corr. p (οὕτω τό). 16. μγ´] p, om. V, m. 2 v. 26. ἡ] ἥ V; corr. p. 27. τῷ] τοῦ V; corr. p („ei“ Memus).

μένου πρὸς τῷ κέντρῳ τριγώνου ἴσον ἔσται τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τριγώνῳ ὁμοίῳ τῷ ἀποτεμνομένῳ.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ AB, κέντρον δὲ τὸ $Γ$, καὶ ἤχθω ἐφαπτομένη τῆς τομῆς ἡ $ΔE$, καὶ ἐπεζεύχθω ἡ $ΓE$, καὶ τεταγμένως κατήχθω ἡ EZ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ H, καὶ τῇ ἐφαπτομένῃ παράλληλος ἤχθω ἡ $HΘ$, καὶ τεταγμένως κατήχθω ἡ HK, διὰ δὲ τοῦ B τεταγμένως ἀνήχθω ἡ $BΛ$. λέγω, ὅτι τὸ $KMΓ$ τρίγωνον τοῦ $ΓΛB$ τριγώνου διαφέρει τῷ $HKΘ$ τριγώνῳ.

ἐπεὶ γὰρ ἐφάπτεται μὲν ἡ $EΔ$, κατηγμένη δέ ἐστιν ἡ EZ, ἡ EZ πρὸς $ZΔ$ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς $ΓZ$ πρὸς ZE καὶ τῆς ὀρθίας πρὸς τὴν πλαγίαν. ἀλλ' ὡς μὲν ἡ EZ πρὸς $ZΔ$, ἡ HK πρὸς $KΘ$, ὡς δὲ ἡ $ΓZ$ πρὸς ZE, ἡ $ΓB$ πρὸς $BΛ$· ἕξει ἄρα ἡ HK πρὸς $KΘ$ τὸν συγκείμενον λόγον ἐκ τοῦ τῆς $BΓ$ πρὸς $BΛ$ καὶ τῆς ὀρθίας πρὸς τὴν πλαγίαν. καὶ διὰ τὰ δεδειγμένα ἐν τῷ τεσσαρακοστῷ πρώτῳ θεωρήματι τὸ $ΓKM$ τρίγωνον τοῦ $BΓΛ$ τριγώνου διαφέρει τῷ $HΘK$· καὶ γὰρ ἐπὶ τῶν διπλασίων αὐτῶν παραλληλογράμμων τὰ αὐτὰ δέδεικται.

μδ΄.

Ἐὰν μιᾶς τῶν ἀντικειμένων εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ τις εὐθεῖα τεταγμένως ἐπὶ τὴν διάμετρον, καὶ ταύτῃ διὰ

8. HK] scripsi; HKM V, KHM p. 10. τῷ] τῶ sequente macula (fort. littera ν macula obscurata) V, τῶν v; τῷ pc. 22. τά] om. V; corr. Memus. 23. μδ΄] p, om. V, m. 2 v. 25. ἀπό] c, corr. ex ὑπό m. 1 V. τῆς] c, σ euan. V.

sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, centrum autem Γ, et sectionem contingens ducatur $\varDelta E$, ducaturque ΓE, et ordinate duca-



tur EZ, sumatur autem in sectione punctum aliquod H, et contingenti parallela ducatur $H\Theta$, ordinateque ducatur HK, per B autem ordinate ducatur $B\varLambda$. dico, triangulum $KM\Gamma$ a triangulo $\Gamma\varLambda B$ differre triangulo $HK\Theta$.

nam quoniam $E\varDelta$ contingit, EZ autem ordinate ducta est, $EZ : Z\varDelta$ rationem habet compositam e ratione $\Gamma Z : ZE$ eaque, quam habet latus rectum ad transuersum [prop. XXXIX]. est autem

$$EZ : Z\varDelta = HK : K\Theta$$

[Eucl. VI, 4] et $\Gamma Z : ZE = \Gamma B : B\varLambda$ [ib.]. itaque $HK : K\Theta$ rationem habebit compositam ex ratione $B\Gamma : B\varLambda$ eaque, quam habet latus rectum ad transuersum. et propter ea, quae in propositione XLI demonstrata sunt, triangulus ΓKM a triangulo $B\Gamma\varLambda$ differt triangulo $H\Theta K$; nam etiam de parallelogrammis, quae iis duplo maiora sunt, eadem demonstrata sunt [u. Eutocius].

XLIV.

Si recta alterutram oppositarum contingens cum diametro concurrit, et a puncto contactus recta ad τῆς κορυφῆς τῆς ἑτέρας τομῆς παράλληλος ἀχθῇ συμπίπτουσα τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένῃ εὐθείᾳ, ληφθέντος δὲ ἐπὶ τῆς τομῆς, οὗ ἔτυχε σημείου, καταχθῶσιν εὐθεῖαι ἐπὶ τὴν διάμετρον, ὧν ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν κατηγμένην ἀπὸ τῆς ἁφῆς τεταγμένως, τὸ γινόμενον ὑπ' αὐτῶν τρίγωνον, οὗ ἀποτέμνει τριγώνου ἡ κατηγμένη πρὸς τῷ κέντρῳ τῆς τομῆς, ἔλασσον ἔσται τῷ ἀπὸ τῆς ἐκ τοῦ κέντρου τριγώνῳ ὁμοίῳ τῷ ἀποτεμνομένῳ.

ἔστωσαν ἀντικείμεναι αἱ AZ, BE, διάμετρος δὲ αὐτῶν ἡ AB, κέντρον δὲ τὸ Γ, καὶ ἀπό τινος σημείου τῶν ἐπὶ τῆς $Z\varDelta$ τομῆς τοῦ Z ἐφαπτομένη ἤχθω τῆς τομῆς ἡ ZH, τεταγμένως δὲ ἡ ZO, καὶ ἐπεζεύχθω ἡ ΓZ καὶ ἐκβεβλήσθω ὡς ἡ ΓE, καὶ διὰ τοῦ B τῇ ZO παράλληλος ἡ $B\varDelta$, καὶ σημεῖόν τι ἐπὶ τῆς BE τομῆς τὸ N, καὶ ἀπὸ τοῦ N τεταγμένως κατήχθω ἡ $N\Theta$, τῇ δὲ ZH παράλληλος ἤχθω ἡ NK. λέγω, ὅτι τὸ ΘKN τρίγωνον τοῦ $\Gamma M\Theta$ τριγώνου ἔλασσόν ἐστι τῷ $\Gamma B\varDelta$ τριγώνῳ.

διὰ γὰρ τοῦ E τῆς BE τομῆς ἐφαπτομένη ἤχθω ἡ $E\varDelta$, τεταγμένως δὲ η $E\Xi$. ἐπεὶ οὖν ἀντικείμεναί εἰσιν αἱ $Z\varDelta$, BE, ὧν διάμετρος ἡ AB, ἡ δὲ διὰ τοῦ κέντρου ἡ $Z\Gamma E$, καὶ ἐφαπτόμεναι τῶν τομῶν αἱ ZH, $E\varDelta$, τῇ ZH παράλληλός ἐστιν ἡ $\varDelta E$. ἡ δὲ NK παράλληλός ἐστι τῇ ZH· καὶ τῇ $E\varDelta$ ἄρα παράλληλός ἐστιν η NK, ἡ δὲ $M\Theta$ τῇ $B\varDelta$. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ BE,

8. ἐκ τοῦ] om. V; corr. p. 14. ἡ ΓZ καὶ ἐκβεβλήσθω] bis V; corr. p. 15. καί] καὶ εἰλήφθω Halley praeeunte Commandino („relictum sit“ Memus). 17. ΘKN] p, ΘK V. 21. $E\Xi$] EZ V; corr. p. 23. $Z\Gamma E$] p, Eutocius; $ZE\Gamma$ V. 25. ἄρα] p; om. V. NK] pvc; in V pro certo legi non potest.

diametrum ordinate ducitur, huic autem parallela per uerticem alterius sectionis ducitur recta cum recta per punctum contactus centrumque ducta concurrens, sumpto autem in sectione puncto aliquo ad diametrum rectae ducuntur, quarum altera contingenti, altera rectae a puncto contactus ordinate ductae parallela est, triangulus ab his effectus triangulo, quem recta ordinate ducta ad centrum sectionis abscindit, minor erit triangulo in radio descripto simili triangulo absciso.

sint oppositae AZ, BE, diametrus autem earum AB, centrum autem Γ, et a Z puncto aliquo sectionis



ZA sectionem contingens ducatur ZH, ordinate autem ZO, et ducatur ΓZ producaturque, ut fiat ΓE, et per B rectae ZO parallela ducatur $B\Lambda$, in sectione autem BE punctum aliquod sit N, et ab N ordinate ducatur $N\Theta$, rectae autem ZH parallela ducatur NK. dico, esse $N\Theta K = \Gamma M\Theta \div \Gamma B\Lambda$.

per E enim sectionem BE contingens ducatur $E\Delta$, ordinate autem $E\Xi$. quoniam igitur ZA, BE oppositae sunt, quarum diametrus est AB, recta autem per centrum ducta $Z\Gamma E$, sectionesque contingentes ZH, $E\Delta$, rectae ZH parallela est ΔE [u. Eutocius]. est autem NK rectae ZH parallela; quare etiam rectae $E\Delta$ parallela est NK [Eucl. I, 30], $M\Theta$ autem rectae $B\Lambda$ parallela. quoniam igitur hyperbola est BE, cuius diametrus est AB, centrum autem Γ, sectionem autem contingens ΔE et ordinate ducta $E\Xi$, ἧς διάμετρος ἡ AB, κέντρον δὲ τὸ Γ, ἐφαπτομένη δὲ τῆς τομῆς ἡ ΔE, τεταγμένως δὲ ἡ $E\Xi$, καὶ τῇ $E\Xi$ παράλληλός ἐστιν ἡ $B\Lambda$, καὶ εἴληπται ἐπὶ τῆς τομῆς σημεῖον τὸ N, ἀφ' οὗ τεταγμένως μὲν κατῆκται ἡ $N\Theta$, παράλληλος δὲ ἦκται τῇ ΔE ἡ KN, τὸ ἄρα $N\Theta K$ τρίγωνον τοῦ $\Theta M\Gamma$ τριγώνου ἔλασσόν ἐστι τῷ $B\Gamma\Lambda$ τριγώνῳ· τοῦτο γὰρ ἐν τῷ μγ' θεωρήματι δέδεικται.

μεʹ.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ δευτέρᾳ διαμέτρῳ, καὶ ἀπὸ τῆς ἁφῆς καταχθῇ τις εὐθεῖα ἐπὶ τὴν αὐτὴν διάμετρον παράλληλος τῇ ἑτέρᾳ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἐκβληθῇ, ληφθέντος δέ, οὗ ἔτυχεν, ἐπὶ τῆς τομῆς σημείου ἀχθῶσι δύο εὐθεῖαι ἐπὶ τὴν δευτέραν διάμετρον, ὧν ἡ μὲν παρὰ τὴν ἐφαπτομένην, ἡ δὲ παρὰ τὴν κατηγμένην, τὸ γινόμενον ὑπ' αὐτῶν τρίγωνον, οὗ ἀποτέμνει τριγώνου ἡ κατηγμένη πρὸς τῷ κέντρῳ, ἐπὶ μὲν τῆς ὑπερβολῆς μεῖζον ἔσται τῷ τριγώνῳ, οὗ βάσις μὲν ἡ ἐφαπτομένη, κορυφὴ δὲ τὸ κέντρον τῆς τομῆς, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου μετὰ τοῦ ἀποτεμνομένου ἴσον ἔσται τῷ τριγώνῳ, οὗ βάσις μὲν ἡ ἐφαπτομένη, κορυφὴ δὲ τὸ κέντρον τῆς τομῆς.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια ἡ $AB\Gamma$, ἧς διάμετρος μὲν ἡ $A\Theta$, δευτέρα δὲ ἡ $\Theta\Delta$, κέντρον δὲ τὸ Θ, καὶ ἡ μὲν $\Gamma M\Lambda$ ἐφαπτέσθω κατὰ τὸ Γ, ἡ δὲ $\Gamma\Delta$ ἤχθω παρὰ τὴν $A\Theta$, καὶ ἐπιζευχθεῖσα ἡ $\Theta\Gamma$ ἐκβεβλήσθω, καὶ εἰλήφθω ἐπὶ τῆς τομῆς τυχὸν

6. $B\Gamma\Lambda$] $\Gamma B\Gamma\Lambda$ V; corr. p. 8. μεʹ] p, om. V, m. 2 v. 10. τῇ δευτέρᾳ] bis V (in extr. et prima pag.); corr. cvp.

$B\Delta$ autem rectae $E\Xi$ parallela est, et in sectione sumptum est punctum N, a quo ordinate ducta est $N\Theta$, rectae autem ΔE parallela KN, erit

$$N\Theta K = \Theta M\Gamma \div B\Gamma\Delta;$$

hoc enim in propositione XLIII demonstratum est.

XLV.

Si recta hyperbolam uel ellipsim uel ambitum circuli contingens cum altera diametro concurrit, et a puncto contactus recta ad eandem diametrum alteri diametro parallela ducitur, per punctum autem contactus centrumque recta producitur, et sumpto in sectione puncto aliquo duae rectae ad alteram diametrum ducuntur, quarum altera contingenti, altera rectae ordinate ductae parallela est, triangulus ab his effectus triangulo, quem recta ordinate ducta ad centrum abscindit, in hyperbola maior erit triangulo, cuius basis est recta contingens, uertex autem centrum sectionis, in ellipsi autem circuloque adiuncto triangulo absciso aequalis erit triangulo, cuius basis est recta contingens, uertex autem centrum sectionis.

sit hyperbola uel ellipsis uel ambitus circuli $AB\Gamma$, cuius diametrus sit $A\Theta$, altera autem $\Theta\Delta$, centrum autem Θ, et $\Gamma M\Lambda$ in Γ contingat, $\Gamma\Delta$ autem rectae $A\Theta$ parallela ducatur, et ducta $\Theta\Gamma$ producatur, sumatur autem in sectione punctum aliquod B, et a B rectis $\Lambda\Gamma$, $\Gamma\Delta$ parallelae ducantur BE, BZ. dico, esse

---

17. τρίγωνον] $\Delta I'$ V (h. e. Δ'). 25. ἡ] (alt.) c, om. V. $\Theta\Delta$] $\Delta\Theta\Lambda$ Halley.

σημεῖον τὸ Β, καὶ ἀπὸ τοῦ Β ἤχθωσαν αἱ ΒΕ, ΒΖ παρὰ τὰς ΑΓ, ΓΔ. λέγω, ὅτι ἐπὶ μὲν τῆς ὑπερβολῆς τὸ ΒΕΖ τρίγωνον τοῦ ΗΘΖ μεῖζόν ἐστι τῷ ΛΓΘ, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου μετὰ τοῦ ΖΗΘ ἴσον ἐστὶ τῷ ΓΛΘ.

ἤχθωσαν γὰρ αἱ ΓΚ, ΒΝ παρὰ τὴν ΔΘ. ἐπεὶ οὖν ἐφάπτεται ἡ ΓΜ, κατῆκται δὲ ἡ ΓΚ, ἡ ΓΚ πρὸς ΚΘ τὸν συγκείμενον λόγον ἔχει ἐκ τοῦ ὃν ἔχει ἡ ΜΚ πρὸς ΚΓ, καὶ τοῦ ὃν ἔχει τοῦ εἴδους ἡ ὀρθία πλευρὰ πρὸς τὴν πλαγίαν· ὡς δὲ ἡ ΜΚ πρὸς ΚΓ, ἡ ΓΔ πρὸς ΔΛ· ἡ ΓΚ ἄρα πρὸς ΚΘ λόγον ἔχει τὸν συγκείμενον ἐκ τοῦ τῆς ΓΔ πρὸς ΔΛ καὶ τῆς ὀρθίας πρὸς τὴν πλαγίαν. καί ἐστι τὸ ΓΔΛ τρίγωνον τὸ ἀπὸ τῆς ΚΘ εἶδος, τὸ δὲ ΓΚΘ, τουτέστι τὸ ΓΔΘ, τὸ ἀπὸ τῆς ΓΚ, τουτέστι τῆς ΔΘ· τὸ ΓΔΛ ἄρα τρίγωνον τοῦ ΓΚΘ ἐπὶ μὲν τῆς ὑπερβολῆς μεῖζόν ἐστι τῷ ἀπὸ τῆς ΑΘ τριγώνῳ ὁμοίῳ τῷ ΓΔΛ, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου τὸ ΓΔΘ μετὰ τοῦ ΓΔΛ ἴσον ἐστὶ τῷ αὐτῷ· καὶ γὰρ ἐπὶ τῶν διπλασίων αὐτῶν τοῦτο ἐδείχθη ἐν τῷ τεσσαρακοστῷ πρώτῳ θεωρήματι. ἐπεὶ οὖν τὸ ΓΔΛ τρίγωνον τοῦ ΓΚΘ ἤτοι τοῦ ΓΔΘ διαφέρει



τῷ ἀπὸ τῆς ΑΘ τριγώνῳ ὁμοίῳ τῷ ΓΔΛ, διαφέρει δὲ καὶ τῷ ΓΘΛ τριγώνῳ, ἴσον ἄρα τὸ ΓΘΛ τρίγωνον

Fig. priorem bis hab. V.

in hyperbola $BEZ = H\Theta Z + \Lambda\Gamma\Theta$, in ellipsi autem et circulo $BEZ + ZH\Theta = \Gamma\Lambda\Theta$.

ducantur enim rectae $\Delta\Theta$ parallelae ΓK, BN. quoniam igitur ΓM contingit, ΓK autem ordinate ducta est, $\Gamma K : K\Theta$ rationem habebit compositam ex





ratione, quam habet $MK : K\Gamma$, eaque, quam habet latus rectum figurae ad transuersum [prop. XXXIX]. est autem [Eucl. VI, 4] $MK : K\Gamma = \Gamma\Delta : \Delta\Lambda$. quare $\Gamma K : K\Theta$ rationem habet compositam ex ratione $\Gamma\Delta : \Delta\Lambda$ eaque, quam habet latus rectum ad transuersum. et triangulus $\Gamma\Delta\Lambda$ figura est in $K\Theta$ descripta, $\Gamma K\Theta$ autem siue $\Gamma\Delta\Theta$ figura in ΓK siue $\Delta\Theta$ descripta. itaque in hyperbola $\Gamma\Delta\Lambda$ triangulus triangulo $\Gamma K\Theta$





maior est triangulo in $\Lambda\Theta$ descripto simili triangulo $\Gamma\Delta\Lambda$, in ellipsi autem circuloque $\Gamma\Delta\Theta$ adiuncto $\Gamma\Delta\Lambda$

Fig. primam bis V.

τῷ ἀπὸ τῆς $A\Theta$ ὁμοίῳ τῷ $\Gamma\Delta\Lambda$ τριγώνῳ. ἐπεὶ οὖν τὸ μὲν BZE τρίγωνον ὅμοιόν ἐστι τῷ $\Gamma\Delta\Lambda$, τὸ δὲ $HZ\Theta$ τῷ $\Gamma\Delta\Theta$, τὸν αὐτὸν ἄρα λόγον ἔχει. καί ἐστι τὸ μὲν BZE τὸ ἀπὸ τῆς $N\Theta$ μεταξὺ τῆς κατηγμένης καὶ τοῦ κέντρου, τὸ δὲ $HZ\Theta$ τὸ ἀπὸ τῆς BN κατηγμένης, τουτέστι τῆς $Z\Theta$· καὶ διὰ τὰ δεδειγμένα πρότερον τὸ BZE τοῦ $H\Theta Z$ διαφέρει τῷ ἀπὸ τῆς $A\Theta$ ὁμοίῳ τῷ $\Gamma\Delta\Lambda$· ὥστε καὶ τῷ $\Gamma\Lambda\Theta$.

μϛ′.

Ἐὰν παραβολῆς εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, ἡ διὰ τῆς ἁφῆς παράλληλος ἀγομένη τῇ διαμέτρῳ ἐπὶ ταὐτὰ τῇ τομῇ τὰς ἀγομένας ἐν τῇ τομῇ παρὰ τὴν ἐφαπτομένην δίχα τέμνει.

ἔστω παραβολή, ἧς διάμετρος ἡ $AB\Delta$, καὶ ἐφαπτέσθω τῆς τομῆς ἡ $A\Gamma$, διὰ δὲ τοῦ Γ τῇ $A\Delta$ παράλληλος ἤχθω ἡ $\Theta\Gamma M$, καὶ εἰλήφθω ἐπὶ τῆς τομῆς τυχὸν σημεῖον τὸ Λ, καὶ ἤχθω τῇ $A\Gamma$ παράλληλος ἡ ΛNZE. λέγω, ὅτι ἐστὶν ἴση ἡ ΛN τῇ NZ.



ἤχθωσαν τεταγμένως αἱ $B\Theta$, KZH, $\Lambda M\Delta$. ἐπεὶ οὖν διὰ τὰ δεδειγμένα ἐν τῷ τεσσαρακοστῷ δευτέρῳ θεωρήματι ἴσον ἐστὶ τὸ $E\Lambda\Delta$ τρίγωνον τῷ BM παραλληλογράμμῳ, τὸ δὲ EZH τῷ BK, λοιπὸν ἄρα τὸ

4. τό] (alt.) om. V; corr. Halley. $N\Theta$] p v c; N incertum est in V. 8. $\Gamma\Delta\Lambda$] $\Gamma\Delta\Delta$ V; corr. p. 9. μϛ′] p, om. V, m. 2 v. 12. ταὐτά] ταῦτα V; corr. p. 23. KZH] ZHK V; corr. p. $\Lambda M\Delta$] ΛM V; corr. Comm.

eidem aequalis est; nam in figuris, quae iis duplo maiores sunt, hoc demonstratum est in propositione XLI. quoniam igitur triangulus $\Gamma\varDelta\varLambda$ a $\Gamma K\Theta$ siue $\Gamma\varDelta\Theta$ differt triangulo in $\varLambda\Theta$ descripto simili triangulo $\Gamma\varDelta\varLambda$, uerum etiam triangulo $\Gamma\Theta\varLambda$ differt, triangulus $\Gamma\Theta\varLambda$ triangulo in $\varLambda\Theta$ descripto simili triangulo $\Gamma\varDelta\varLambda$ aequalis est. quoniam igitur triangulus BZE triangulo $\Gamma\varDelta\varLambda$ similis est [Eucl. I, 29] et $HZ\Theta$ triangulo $\Gamma\varDelta\Theta$, eandem rationem habent[1]). et BZE in $N\Theta$ descriptus est inter rectam ordinatam centrumque, $HZ\Theta$ autem in BN ordinate ducta siue $Z\Theta$; et propter ea, quae antea demonstrata sunt [prop. XLI], BZE ab $H\Theta Z$ differt triangulo in $\varLambda\Theta$ descripto simili triangulo $\Gamma\varDelta\varLambda$. ergo etiam triangulo $\Gamma\varLambda\Theta$ differt.

XLVI.

Si recta parabolam contingens cum diametro concurrit, recta per punctum contactus diametro parallela ducta ad partes sectionis uersus rectas in sectione contingenti parallelas ductas in binas partes aequales secabit.

sit parabola, cuius diametrus sit $AB\varDelta$, et sectionem contingat $A\Gamma$, per Γ autem rectae $A\varDelta$ parallela ducatur $\Theta\Gamma M$, et in sectione sumatur punctum aliquod $\varLambda$, ducaturque rectae $A\Gamma$ parallela $\varLambda NZE$. dico, esse $\varLambda N = NZ$.

ducantur ordinate $B\Theta$, HZK, $\varLambda M\varDelta$. quoniam igitur propter ea, quae in propositione XLII demon-

1) Hoc est: latera eandem inter se rationem habent (Eucl. VI, 4); itaque in proportione $\Gamma K : K\Theta$ cet. substitui possunt rationes laterum triangulorum BZE, $HZ\Theta$, ita ut condicioni propositionis 41 satis fiat.

ΗΜ παραλληλόγραμμον λοιπῷ τῷ ΛΖΗΔ τετραπλεύρῳ ἐστὶν ἴσον. κοινὸν ἀφῃρήσθω τὸ ΜΔΗΖΝ πεντάπλευρον· λοιπὸν ἄρα τὸ ΚΖΝ τρίγωνον τῷ ΛΜΝ ἴσον ἐστί. καί ἐστι παράλληλος ἡ ΚΖ τῇ ΛΜ· ἴση ἄρα ἡ ΖΝ τῇ ΛΝ.

μζ'.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἀχθῇ ἐπὶ ταὐτὰ τῇ τομῇ, δίχα τεμεῖ τὰς ἀγομένας ἐν τῇ τομῇ παρὰ τὴν ἐφαπτομένην.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος μὲν ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, καὶ ἐφαπτομένη



τῆς τομῆς ἤχθω ἡ ΔΕ, καὶ ἐπεζεύχθω ἡ ΓΕ καὶ ἐκβεβλήσθω, καὶ εἰλήφθω τυχὸν ἐπὶ τῆς τομῆς σημεῖον τὸ Ν, καὶ διὰ τοῦ Ν παράλληλος ἤχθω ἡ ΘΝΟΗ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΝΟ τῇ ΟΗ.

κατήχθωσαν γὰρ τεταγμένως αἱ ΞΝΖ, ΒΛ, ΗΜΚ. διὰ τὰ δεδειγμένα ἄρα ἐν τῷ μγ' θεωρήματι ἴσον ἐστὶ τὸ μὲν ΘΝΖ τρίγωνον τῷ ΛΒΖΞ τετραπλεύρῳ, τὸ

---

2. *ΜΔΗΖΗ* cv et, ut uidetur, V; corr. p. 4. *ΛΜ*] *ΛΝ* V; corr. p. 6. *μζ'*] p, om. V, m. 2 v. 9. *ταὐτά*] *ταῦτα* V;

strata sunt, $E\Lambda\Delta = BM$ et $EZH = BK$, erit

$$HM = \Lambda ZH\Delta.$$

auferatur, quod commune est, pentagonum $M\Delta HZN$; itaque $KZN = \Lambda MN$. est autem KZ rectae ΛM parallela. ergo $ZN = \Lambda N$ [Eucl. VI, 22 coroll.].

XLVII.

Si recta hyperbolam uel ellipsim uel ambitum circuli contingens cum diametro concurrit, et per punctum contactus centrumque recta ad partes sectionis uersus ducitur, rectas in sectione contingenti parallelas ductas in binas partes aequales secabit.

sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, centrum autem Γ, et sectionem



contingens ducatur ΔE, ducaturque ΓE et producatur, et in sectione sumatur punctum aliquod N, et per N parallela ducatur ΘNOH. dico, esse $NO = OH$.

ordinate enim ducantur ΞNZ, $B\Lambda$, HMK. itaque propter ea, quae in propositione XLIII demonstrata sunt, erit $\Theta NZ = \Lambda BZ\Xi$, $H\Theta K = \Lambda BKM$. quare etiam $NHKZ = MKZ\Xi$. auferatur, quod commune

---

corr. p. 16. $\Theta NOH\Lambda$ V; corr. p. 20. ΘNZ] BNZ V; corr. p. $\Lambda B\Xi Z$ V; corr. p.

δὲ ΗΘΚ τρίγωνον τῷ ΛΒΚΜ· καὶ λοιπὸν ἄρα τὸ ΝΗΚΖ τετράπλευρον λοιπῷ τῷ ΜΚΖΞ ἐστιν ἴσον. κοινὸν ἀφῃρήσθω τὸ ΟΝΖΚΜ πεντάπλευρον· λοιπὸν ἄρα τὸ ΟΜΗ τρίγωνον λοιπῷ τῷ ΝΞΟ ἐστιν ἴσον. καί ἐστι παράλληλος ἡ ΜΗ τῇ ΝΞ· ἴση ἄρα ἡ ΝΟ τῇ ΟΗ.

μη'.

Ἐὰν μιᾶς τῶν ἀντικειμένων εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἐκβληθεῖσα τέμῃ τὴν ἑτέραν τομήν, ἥτις ἂν ἀχθῇ ἐν τῇ ἑτέρᾳ τομῇ παρὰ τὴν ἐφαπτομένην, δίχα τμηθήσεται ὑπὸ τῆς ἐκβληθείσης.

ἔστωσαν ἀντικείμεναι, ὧν διάμετρος μὲν ἡ ΑΒ, κέντρον δὲ τὸ Γ, καὶ τῆς Α τομῆς ἐφαπτέσθω ἡ ΚΛ, καὶ ἐπεζεύχθω ἡ ΛΓ καὶ ἐκβεβλήσθω, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς Β τομῆς τὸ Ν, καὶ διὰ τοῦ Ν τῇ ΛΚ παράλληλος ἤχθω ἡ ΝΗ. λέγω, ὅτι ἡ ΝΟ τῇ ΟΗ ἐστιν ἴση.

ἤχθω γαρ διὰ τοῦ Ε ἐφαπτομένη τῆς τομῆς ἡ ΕΔ· ἡ ΕΔ ἄρα τῇ ΛΚ παράλληλός ἐστιν. ὥστε καὶ τῇ ΝΗ. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ ΒΝΗ, ἧς κέντρον τὸ Γ, καὶ ἐφαπτομένη ἡ ΔΕ, καὶ ἐπέζευκται ἡ ΓΕ, καὶ εἴληπται ἐπὶ τῆς τομῆς σημεῖον τὸ Ν, καὶ δι' αὐτοῦ παράλληλος τῇ ΔΕ ἦκται ἡ ΝΗ, διὰ τὸ προδεδειγμένον ἐπὶ τῆς ὑπερβολῆς ἴση ἐστὶν ἡ ΝΟ τῇ ΟΗ.

---

2. ΜΚΞΖ V; corr. Comm. 4. ΝΞΟ] ΘΝΞΟ V; corr. p. 6. ΟΗ] ΣΗ V; corr. p. 7. μη'] p, om. V, m. 2 v.

est, pentagonum $ONZKM$. erit igitur $OMH = N\Xi O$. et MH rectae $N\Xi$ parallela est; ergo est $NO = OH$ [Eucl. VI, 22 coroll.].

XLVIII.

Si recta alterutram oppositarum contingens cum diametro concurrit, et per punctum contactus centrumque producta recta alteram sectionem secat, quaecunque recta in altera sectione ducitur contingenti parallela, a recta illa producta in duas partes aequales secabitur.

sint oppositae, quarum diametrus sit AB, centrum autem Γ, et sectionem A contingat $K\Delta$, ducaturque $\Delta\Gamma$ et producatur, in B autem sectione punctum aliquod sumatur N, et per N rectae ΔK parallela ducatur NH. dico, esse $NO = OH$.

ducatur enim per E sectionem contingens $E\Delta$; $E\Delta$ igitur rectae ΔK parallela est [u. Eutocius ad prop. XLIV]. quare etiam rectae NH [Eucl. I, 30]. quoniam igitur BNH hyperbola est, cuius centrum est Γ, et contingit ΔE, et ducta est ΓE, in sectione autem sumptum est punctum N, et per id rectae ΔE parallela ducta est NH, propter id, quod de hyperbola antea demonstratum est [prop. XLVII], erit $NO = OH$.



μθ΄.

Ἐὰν παραβολῆς εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ μὲν τῆς ἁφῆς ἀχθῇ παράλληλος τῇ διαμέτρῳ, ἀπὸ δὲ τῆς κορυφῆς ἀχθῇ παρὰ τεταγμένως κατηγμένην, καὶ ποιηθῇ, ὡς τὸ τμῆμα τῆς ἐφαπτομένης τὸ μεταξὺ τῆς ἀνηγμένης καὶ τῆς ἁφῆς πρὸς τὸ τμῆμα τῆς παραλλήλου τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης, οὕτως εὐθεῖά τις πρὸς τὴν διπλασίαν τῆς ἐφαπτομένης, ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ ἐπὶ τὴν διὰ τῆς ἁφῆς ἠγμένην εὐθεῖαν παράλληλον τῇ διαμέτρῳ, δυνήσεται τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῆς πεπορισμένης εὐθείας καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῆς πρὸς τῇ ἁφῇ.

ἔστω παραβολή, ἧς διάμετρος ἡ $MB\Gamma$, ἐφαπτομένη δὲ ἡ $\Gamma\Delta$, καὶ διὰ τοῦ Δ τῇ $B\Gamma$ παράλληλος ἤχθω ἡ $Z\Delta N$, τεταγμένως δὲ ἀνήχθω ἡ ZB, καὶ πεποιήσθω ὡς ἡ $E\Delta$ πρὸς ΔZ, εὐθεῖά τις ἡ H πρὸς τὴν διπλασίαν τῆς $\Gamma\Delta$, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς τομῆς τὸ K, καὶ ἤχθω διὰ τοῦ K τῇ $\Gamma\Delta$ παράλληλος ἡ $K\Lambda\Pi$. λέγω, ὅτι τὸ ἀπὸ τῆς $K\Lambda$ ἴσον ἐστὶ τῷ ὑπὸ τῆς H καὶ τῆς $\Delta\Lambda$, τουτέστιν ὅτι διαμέτρου οὔσης τῆς $\Delta\Lambda$ ὀρθία ἐστὶν ἡ H.

κατήχθωσαν γὰρ τεταγμένως αἱ $\Delta\Xi$, KNM. καὶ ἐπεὶ ἡ $\Gamma\Delta$ ἐφάπτεται τῆς τομῆς, τεταγμένως δὲ κατῆκται ἡ $\Delta\Xi$, ἴση ἐστὶν ἡ ΓB τῇ $B\Xi$. ἡ δὲ $B\Xi$ τῇ $Z\Delta$ ἴση ἐστί· καὶ ἡ ΓB ἄρα τῇ $Z\Delta$ ἐστιν ἴση. ὥστε καὶ τὸ $E\Gamma B$ τρίγωνον τῷ $EZ\Delta$ τριγώνῳ. κοινὸν προσκείσθω τὸ $\Delta EBMN$ σχῆμα· τὸ ἄρα $\Delta\Gamma MN$

---

1. μθ΄] p, om. V, m. 2 v. 5. κατηγμένη V; corr. Halley. 9. Hic alicubi desiderari *παρὰ τὴν ἐφαπτομένην*, iam Memus

XLIX.

Si recta parabolam contingens cum diametro concurrit, per contactum autem recta diametro parallela ducitur, a uertice autem recta ordinate ductae parallela, et fit, ut pars contingentis inter ordinate ductam punctumque contactus posita ad partem parallelae inter punctum contactus et ordinate ductam positam, ita recta aliqua ad duplam contingentis, quaecunque recta a sectione [contingenti parallela] ad rectam per punctum contactus diametro parallelam ductam ducitur, quadrata aequalis est rectangulo comprehenso recta adsumpta rectaque ab illa ad punctum contactus abscisa.

sit parabola, cuius diametrus sit $M B \Gamma$, contingens autem $\Gamma \Delta$, et per Δ rectae $B \Gamma$ parallela ducatur $Z \Delta N$,



ordinate autem ducatur $Z B$, et fiat $E \Delta : \Delta Z = H : 2 \Gamma \Delta$, sumaturque punctum aliquod K in sectione, per K autem rectae $\Gamma \Delta$ parallela ducatur $K \Lambda \Pi$. dico, esse $K \Lambda^2 = H \times \Delta \Lambda$, h. e. si $\Delta \Lambda$ diametrus sit, latus rectum esse H [prop. XI].

ordinate enim ducantur $\Delta \Xi$, $K N M$. et quoniam $\Gamma \Delta$ contingit sectionem, $\Delta \Xi$ autem ordinate ducta est, erit $\Gamma B = B \Xi$ [prop. XXXV]. est autem $B \Xi = Z \Delta$ [Eucl. I, 34]; itaque etiam $\Gamma B = Z \Delta$. quare etiam

senserat. 16. πεποιείσθω V; corr p. 27. $E Z \Delta$] pvc, Z corr. ex Δ m. 1 V. 28. προσκείσθω] p; προκείσθω V.

τετράπλευρον τῷ ΖΜ παραλληλογράμμῳ ἐστὶν ἴσον, τουτέστι τῷ ΚΠΜ τριγώνῳ. κοινὸν ἀφῃρήσθω τὸ ΛΠΜΝ τετράπλευρον· λοιπὸν ἄρα τὸ ΚΛΝ τρίγωνον τῷ ΛΓ παραλληλογράμμῳ ἐστὶν ἴσον. καί ἐστιν ἴση ἡ ὑπὸ ΔΛΠ γωνία τῇ ὑπὸ ΚΛΝ· διπλάσιον ἄρα ἐστὶ τὸ ὑπὸ ΚΛΝ τοῦ ὑπὸ ΛΔΓ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΕΔ πρὸς ΔΖ, ἡ Η πρὸς τὴν διπλασίαν τῆς ΓΔ, ἔστι δὲ καὶ ὡς ἡ ΕΔ πρὸς ΔΖ, ι ΚΛ πρὸς ΛΝ, καὶ ὡς ἄρα ἡ Η πρὸς την διπλασίαν τῆς ΓΔ, ἡ ΚΛ πρὸς ΛΝ. ἀλλ' ὡς μὲν ἡ ΚΛ πρὸς ΛΝ, τὸ ἀπὸ ΚΛ πρὸς τὸ ὑπὸ ΚΛΝ, ὡς δὲ ἡ Η πρὸς τὴν διπλασίαν τῆς ΔΓ, τὸ ὑπὸ Η, ΔΛ πρὸς τὸ δὶς ὑπὸ ΓΔΛ· ὡς ἄρα τὸ ἀπὸ ΚΛ πρὸς τὸ ὑπὸ ΚΛΝ, τὸ ὑπὸ Η, ΔΛ πρὸς τὸ δὶς ὑπὸ ΓΔΛ. καὶ ἐναλλάξ· ἴσον δέ ἐστι τὸ ὑπὸ ΚΛΝ τῷ δὶς ὑπὸ ΓΔΛ· ἴσον ἄρα καὶ τὸ ἀπὸ ΚΛ τῷ ὑπὸ Η, ΔΛ.

ν'.

Ἐὰν ὑπερβολῆς ἢ ἐλλείψεως ἢ κύκλου περιφερείας εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου εὐθεῖα ἐκβληθῇ, ἀπὸ δὲ τῆς κορυφῆς ἀναχθεῖσα εὐθεῖα παρὰ τεταγμένως κατηγμένην συμπίπτῃ τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένῃ εὐθείᾳ, καὶ ποιηθῇ, ὡς τὸ τμῆμα τῆς ἐφαπτομένης τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης πρὸς τὸ τμῆμα τῆς ἠγμένης διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης, εὐθεῖά τις πρὸς τὴν διπλασίαν τῆς ἐφαπτομένης, ἥτις ἂν ἀπὸ τῆς τομῆς ἀχθῇ ἐπὶ τὴν διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένην

6. τοῦ] p, corr. ex τό m. 1 V, τῇ c. 14. καί — 15. ΓΔΛ] bis V; corr. p. 17. ν'] p, om. V, m. 2 v. 21. κατηγμένη V; corr. p.

$E\Gamma B = EZ\Delta$ [Eucl. VI, 19]. communis adiiciatur figura $\Delta EB MN$; erit igitur $\Delta \Gamma MN = ZM = K\Pi M$ [prop. XLII]. auferatur, quod commune est, quadrangulum $\Lambda \Pi MN$. erit igitur $K\Lambda N = \Lambda\Gamma$. est autem $\angle\, \Delta\Lambda\Pi = \angle\, K\Lambda N$ [Eucl. I, 15]. itaque erit [u. Eutocius] $K\Lambda \times \Lambda N = 2\Lambda\Delta \times \Delta\Gamma$. et quoniam est $E\Delta : \Delta Z = H : 2\Gamma\Delta$, est autem etiam [Eucl. VI, 4] $E\Delta : \Delta Z = K\Lambda : \Lambda N$, erit etiam $H : 2\Gamma\Delta = K\Lambda : \Lambda N$. uerum $K\Lambda : \Lambda N = K\Lambda^2 : K\Lambda \times \Lambda N$,

$$H : 2\Gamma\Delta = H \times \Delta\Lambda : 2\Gamma\Delta \times \Delta\Lambda.$$

itaque $K\Lambda^2 : K\Lambda \times \Lambda N = H \times \Delta\Lambda : 2\Gamma\Delta \times \Delta\Lambda$. et permutando [Eucl. V, 16]; est autem

$$K\Lambda \times \Lambda N = 2\Gamma\Delta \times \Delta\Lambda.$$

ergo etiam $K\Lambda^2 = H \times \Delta\Lambda$.

L.

Si recta hyperbolam uel ellipsim uel ambitum circuli contingens cum diametro concurrit, et per punctum contactus centrumque recta producitur, a uertice autem recta ordinate ductae parallela cum recta per punctum contactus centrumque ducta concurrit, et fit, ut pars contingentis inter punctum contactus et ordinate ductam posita ad partem rectae per punctum contactus centrumque ductae inter punctum contactus et ordinate ductam positam, ita recta aliqua ad duplam contingentis, quaecunque recta a sectione ad rectam per punctum contactus centrumque ductam contingenti parallela ducitur, quadrata aequalis erit spatio rectangulo rectae adsumptae adplicato latitudinem habenti rectam ab illa ad punctum contactus abscisam, in hyperbola figura excedenti simili εὐθεῖαν παράλληλος τῇ ἐφαπτομένῃ, δυνήσεταί τι χωρίον ὀρθογώνιον παρακείμενον παρὰ τὴν πορισθεῖσαν πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπ' αὐτῆς πρὸς τῇ ἁφῇ ἐπὶ μὲν τῆς ὑπερβολῆς ὑπερβάλλον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπὸ τῆς διπλασίας τῆς μεταξὺ τοῦ κέντρου καὶ τῆς ἁφῆς καὶ τῆς πορισθείσης εὐθείας, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου ἐλλεῖπον.

ἔστω ὑπερβολὴ ἢ ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ *ΑΒ*, κέντρον δὲ τὸ *Γ*, ἐφαπτομένη δὲ ἡ *ΔΕ*, καὶ ἐπιζευχθεῖσα ἡ *ΓΕ* ἐκβεβλήσθω ἐφ' ἑκάτερα, καὶ κείσθω τῇ *ΕΓ* ἴση ἡ *ΓΚ*, καὶ διὰ τοῦ *Β* τεταγμένως ἀνήχθω ἡ *ΒΖΗ*, διὰ δὲ τοῦ *Ε* τῇ *ΕΓ* πρὸς ὀρθὰς ἤχθω ἡ *ΕΘ*, καὶ γινέσθω, ὡς ἡ *ΖΕ* πρὸς *ΕΗ*, οὕτως ἡ *ΕΘ* πρὸς την διπλασίαν τῆς *ΕΔ*, καὶ ἐπιζευχθεῖσα ἡ *ΘΚ* ἐκβεβλήσθω, καὶ εἰλήφθω τι ἐπὶ τῆς τομῆς σημεῖον τὸ *Λ*, καὶ δι' αὐτοῦ τῇ *ΕΔ* παράλληλος ἤχθω ἡ *ΛΜΞ*, τῇ δὲ *ΒΗ* ἡ *ΛΡΝ*, τῇ δὲ *ΕΘ* ἡ *ΜΠ*. λέγω, ὅτι τὸ ἀπὸ *ΛΜ* ἴσον ἐστὶ τῷ ὑπὸ *ΕΜΠ*.



ἤχθω γὰρ διὰ τοῦ *Γ* τῇ *ΚΠ* παράλληλος ἡ *ΓΣΟ*. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ *ΕΓ* τῇ *ΓΚ*, ὡς δὲ ἡ *ΕΓ* πρὸς *ΚΓ*, ἡ *ΕΣ* πρὸς *ΣΘ*, ἴση ἄρα καὶ ἡ *ΕΣ* τῇ *ΣΘ*.

21. ΖΕ] p; ΞΕ Vv; corr. postea V. ΕΗ] p; Η Vv; corr. postea V.

spatio comprehenso dupla rectae inter centrum punctumque contactus positae et recta adsumpta, in ellipsi autem circuloque eadem deficienti.

sit hyperbola uel ellipsis uel ambitus circuli, cuius diametrus sit AB, centrum autem Γ, contingatque ΔE, et ducta ΓE producatur in utramque partem, ponaturque $\Gamma K = E\Gamma$, et per B ordinate ducatur BZH, per E autem ad $E\Gamma$ perpendicularis ducatur $E\Theta$, et fiat $ZE : EH = E\Theta : 2E\Delta$, ductaque ΘK producatur, sumatur autem in sectione punctum aliquod





Λ, et per id rectae $E\Delta$ parallela ducatur $\Lambda M\Xi$, rectae BH autem parallela ΛPN, et rectae $E\Theta$ parallela $M\Pi$. dico, esse $\Lambda M^2 = EM \times M\Pi$.

per Γ enim rectae $K\Pi$ parallela ducatur $\Gamma\Sigma O$. et quoniam est $E\Gamma = \Gamma K$, et $E\Gamma : K\Gamma = E\Sigma : \Sigma\Theta$ [Eucl. VI, 2], erit etiam $E\Sigma = \Sigma\Theta$. et quoniam est $ZE : EH = \Theta E : 2E\Delta$, et $E\Sigma = \frac{1}{2}E\Theta$, erit

$$ZE : EH = \Sigma E : E\Delta.$$

est autem

$$ZE : EH = \Lambda M : MP \text{ [Eucl. VI, 4];}$$

itaque $\Lambda M : MP = \Sigma E : E\Delta$. et quoniam demonstrauimus [prop. XLIII], esse in hyperbola

$$PN\Gamma = HB\Gamma + \Lambda N\Xi,$$

καὶ ἐπεί ἐστιν, ὡς ἡ ΖΕ πρὸς ΕΗ, ἡ ΘΕ πρὸς τὴν διπλασίαν τῆς ΕΔ, καί ἐστι τῆς ΕΘ ἡμίσεια ἡ ΕΣ, ἔστιν ἄρα, ὡς ἡ ΖΕ πρὸς ΕΗ, ἡ ΣΕ πρὸς ΕΔ. ὡς δὲ ἡ ΖΕ πρὸς ΕΗ, ἡ ΛΜ πρὸς ΜΡ· ὡς ἄρα ἡ ΛΜ πρὸς ΜΡ, ἡ ΣΕ πρὸς ΕΔ. καὶ ἐπεὶ τὸ ΡΝΓ τρίγωνον τοῦ ΗΒΓ τριγώνου, τουτέστι τοῦ ΓΔΕ, ἐπὶ μὲν τῆς ὑπερβολῆς μεῖζον ἐδείχθη, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου ἔλασσον τῷ ΛΝΞ, κοινῶν ἀφαιρεθέντων ἐπὶ μὲν τῆς ὑπερβολῆς τοῦ τε ΕΓΔ τριγώνου καὶ τοῦ ΝΡΜΞ τετραπλεύρου, ἐπὶ δὲ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου τοῦ ΜΞΓ τριγώνου, τὸ ΛΜΡ τρίγωνον τῷ ΜΕΔΞ τετραπλεύρῳ ἐστὶν ἴσον. καί ἐστι παράλληλος ἡ ΜΞ τῇ ΔΕ, ἡ δὲ ὑπὸ ΛΜΡ τῇ ὑπὸ ΕΜΞ ἐστιν ἴση· ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΛΜΡ τῷ ὑπὸ τῆς ΕΜ καὶ συναμφοτέρου τῆς ΕΔ, ΜΞ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΜΓ πρὸς ΓΕ, ἥ τε ΜΞ πρὸς ΕΔ καὶ ἡ ΜΟ πρὸς ΕΣ, ὡς ἄρα ἡ ΜΟ πρὸς ΕΣ, ἡ ΜΞ πρὸς ΔΕ. καὶ συνθέντι, ὡς συναμφότερος ἡ ΜΟ, ΣΕ πρὸς ΕΣ, οὕτως συναμφότερος ἡ ΜΞ, ΕΔ πρὸς ΕΔ· ἐναλλάξ, ὡς συναμφότερος ἡ ΜΟ, ΣΕ πρὸς συναμφότερον τὴν ΞΜ, ΕΔ, ἡ ΣΕ πρὸς ΕΔ. ἀλλ' ὡς μὲν συναμφότερος ἡ ΜΟ, ΕΣ πρὸς συναμφότερον τὴν ΜΞ, ΔΕ, τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΟ, ΕΣ καὶ τῆς ΕΜ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΞ, ΕΔ καὶ τῆς ΕΜ, ὡς δὲ ἡ ΣΕ πρὸς ΕΔ, ἡ ΖΕ πρὸς ΕΗ, τουτέστιν ἡ ΛΜ πρὸς ΜΡ, τουτέστι τὸ ἀπὸ ΛΜ πρὸς τὸ ὑπὸ ΛΜΡ· ὡς ἄρα τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΟ, ΕΣ καὶ τῆς ΜΕ πρὸς τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΞ, ΕΔ καὶ τῆς ΕΜ, τὸ ἀπὸ ΛΜ πρὸς τὸ ὑπὸ

2. ἐστι] ἔστιν V; corr. pc. 12. τῷ] τό V; corr. p.

h. e. $PN\Gamma = \Gamma\Delta E + \Delta N\Xi$ [u. Eutocius ad prop. XLIII], in ellipsi autem circuloque $PN\Gamma = HB\Gamma \div \Delta N\Xi$, h. e. [u. ibidem] $PN\Gamma + \Delta N\Xi = \Gamma\Delta E$, ablatis, quae communia sunt, in hyperbola $E\Gamma\Delta$ et $NPM\Xi$, in ellipsi autem circuloque $M\Xi\Gamma$, erit $\Delta MP = ME\Delta\Xi$. est autem $M\Xi$ rectae ΔE parallela, et

$$\angle \Delta MP = EM\Xi \text{ [Eucl. I, 15]};$$

itaque erit [u. Eutocius ad prop. XLIX]

$$\Delta M \times MP = EM \times (E\Delta + M\Xi).$$

et quoniam est

$$M\Gamma : \Gamma E = M\Xi : E\Delta, \ M\Gamma : \Gamma E = MO : E\Sigma$$

[Eucl. VI, 4], erit

$$MO : E\Sigma = M\Xi : \Delta E.$$

et componendo [Eucl. V, 18]

$$MO + \Sigma E : E\Sigma = M\Xi + E\Delta : E\Delta;$$

permutando [Eucl. V, 16]

$$MO + \Sigma E : \Xi M + E\Delta = \Sigma E : E\Delta.$$

est autem

$$MO + E\Sigma : M\Xi + \Delta E = (MO + E\Sigma) \times EM : (M\Xi + E\Delta) \times EM,$$

et

$$\Sigma E : E\Delta = ZE : EH = \Delta M : MP \text{ [Eucl. VI, 4]} = \Delta M^2 : \Delta M \times MP;$$

itaque erit

$$(MO + E\Sigma) \times ME : (M\Xi + E\Delta) \times EM = \Delta M^2 : \Delta M \times MP.$$

et permutando

$$(MO + E\Sigma) \times ME : M\Delta^2 = (M\Xi + E\Delta) \times ME : \Delta M \times MP \text{ [Eucl. V, 16]}.$$

ΔΜΡ. καὶ ἐναλλάξ, ὡς τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΟ, ΕΣ καὶ τῆς ΜΕ πρὸς τὸ ἀπὸ ΜΔ, οὕτως τὸ ὑπὸ συναμφοτέρου τῆς ΜΞ, ΕΔ καὶ τῆς ΜΕ πρὸς τὸ ὑπὸ ΔΜΡ. ἴσον δὲ τὸ ὑπὸ ΔΜΡ τῷ ὑπὸ τῆς ΜΕ καὶ συναμφοτέρου τῆς ΜΞ, ΕΔ· ἴσον ἄρα καὶ τὸ ἀπὸ ΔΜ τῷ ὑπὸ ΕΜ καὶ συναμφοτέρου τῆς ΜΟ, ΕΣ. καί ἐστιν ἡ μὲν ΣΕ τῇ ΣΘ ἴση, ἡ δὲ ΣΘ τῇ ΟΠ· ἴσον ἄρα τὸ ἀπὸ ΔΜ τῷ ὑπὸ ΕΜΠ.

να′.

Ἐὰν ὁποτερασοῦν τῶν ἀντικειμένων εὐθεῖα ἐπιψαύουσα συμπίπτῃ τῇ διαμέτρῳ, καὶ διὰ μὲν τῆς ἁφῆς καὶ τοῦ κέντρου ἐκβληθῇ τις εὐθεῖα ἕως τῆς ἑτέρας τομῆς, ἀπὸ δὲ τῆς κορυφῆς εὐθεῖα ἀναχθῇ παρὰ τεταγμένως κατηγμένην καὶ συμπίπτῃ τῇ διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένῃ εὐθείᾳ, καὶ γενηθῇ, ὡς τὸ τμῆμα τῆς ἐφαπτομένης τὸ μεταξὺ τῆς ἀνηγμένης καὶ τῆς ἁφῆς πρὸς τὸ τμῆμα τῆς ἠγμένης διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου τὸ μεταξὺ τῆς ἁφῆς καὶ τῆς ἀνηγμένης, εὐθεῖά τις πρὸς τὴν διπλασίαν τῆς ἐφαπτομένης, ἥτις ἂν ἐν τῇ ἑτέρᾳ τῶν τομῶν ἀχθῇ ἐπὶ τὴν διὰ τῆς ἁφῆς καὶ τοῦ κέντρου ἠγμένην εὐθεῖαν παράλληλος τῇ ἐφαπτομένῃ, δυνήσεται τὸ παρακείμενον ὀρθογώνιον παρὰ τὴν προσπορισθεῖσαν πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπʼ αὐτῆς πρὸς τῇ ἁφῇ ὑπερβάλλον εἴδει ὁμοίῳ τῷ περιεχομένῳ ὑπὸ τῆς μεταξὺ τῶν ἀντικειμένων καὶ τῆς προσπορισθείσης εὐθείας.

ἔστωσαν ἀντικείμεναι, ὧν διάμετρος ἡ ΑΒ, κέντρον

---

2. ἀπό] ὑπό V; corr. p (ἀπὸ τῆς). 9. να′] p, om. V, m. 2 v. 14. κατηγμένη V; corr. p. 23. προσπορισθεῖσαν] scripsi; προπορισθεῖσαν V.

est autem

$$\varDelta M \times MP = ME \times (M\Xi + E\varDelta);$$

quare etiam

$$\varDelta M^2 = EM \times (MO + E\Sigma).$$

et $\Sigma E = \Sigma\Theta$, $\Sigma\Theta = O\Pi$ [Eucl. I, 34]. ergo

$$\varDelta M^2 = EM \times M\Pi.$$

LI.

Si recta alterutram oppositarum contingens cum diametro concurrit, et per punctum contactus centrumque recta usque ad alteram sectionem producitur, a uertice autem recta ordinate ductae parallela ducitur et cum recta per punctum contactus centrumque ducta concurrit, et fit, ut pars contingentis inter ordinate ductam punctumque contactus posita ad partem rectae per punctum contactus centrumque ductae inter punctum contactus et ordinate ductam positam, ita recta aliqua ad duplam contingentis, quaecunque recta in alterutra sectione ad rectam per punctum contactus centrumque ductam contingenti parallela ducitur, quadrata aequalis erit rectangulo rectae adsumptae adplicato latitudinem habenti rectam ab illa ad punctum contactus abscisam excedenti figura simili spatio comprehenso recta inter oppositas posita rectaque adsumpta.

sint oppositae, quarum diametrus sit $\varDelta B$, centrum autem E, et sectionem B contingens ducatur $\Gamma\varDelta$, ducaturque ΓE et producatur, ordinate autem ducatur $B\varDelta H$, et fiat $\varDelta\Gamma : \Gamma H = K : 2\Gamma\varDelta$. iam rectas in sectione $B\Gamma$ rectae $\Gamma\varDelta$ parallelas ad $E\Gamma$ productam ductas quadratas aequales esse spatiis rectae K ad-δὲ τὸ *Ε*, καὶ ἤχθω τῆς *Β* τομῆς ἐφαπτομένη ἡ *ΓΔ*, καὶ ἐπεζεύχθω ἡ *ΓΕ* καὶ ἐκβεβλήσθω, καὶ ἤχθω τεταγμένως ἡ *ΒΔΗ*, καὶ πεποιήσθω, ὡς ἡ *ΔΓ* πρὸς *ΓΗ*, εὐθεῖά τις ἡ *Κ* πρὸς τὴν διπλασίαν τῆς *ΓΔ*.

ὅτι μὲν οὖν αἱ ἐν τῇ *ΒΓ* τομῇ παράλληλοι τῇ *ΓΔ* ἐπὶ τὴν ἐπ' εὐθείας τῇ *ΕΓ* δύνανται τὰ παρὰ τὴν *Κ* παρακείμενα χωρία πλάτη ἔχοντα την ἀπολαμβανομένην ὑπ' αὐτῶν πρὸς τῇ ἁφῇ ὑπερβάλλοντα εἴδει ὁμοίῳ τῷ ὑπὸ *ΓΖ*, *Κ*, φανερόν· διπλασία γάρ ἐστιν ἡ *ΖΓ* τῆς *ΓΕ*.

λέγω δή, ὅτι καὶ ἐν τῇ *ΖΑ* τομῇ τὸ αὐτὸ συμβήσεται.

ἤχθω γὰρ διὰ τοῦ *Ζ* ἐφαπτομένη τῆς *ΑΖ* τομῆς ἡ *ΜΖ*, καὶ τεταγμένως ἀνήχθω ἡ *ΑΞΝ*. καὶ ἐπεὶ ἀντικείμεναί εἰσιν αἱ *ΒΓ*, *ΑΖ*, ἐφαπτόμεναι δὲ αὐτῶν αἱ *ΓΔ*, *ΜΖ*, ἴση ἄρα καὶ παράλληλός ἐστιν ἡ *ΓΔ* τῇ *ΜΖ*. ἴση δὲ καὶ ἡ *ΓΕ* τῇ *ΕΖ*· καὶ ἡ *ΕΔ* ἄρα τῇ *ΕΜ* ἐστιν ἴση. καὶ ἐπεί ἐστιν, ὡς ἡ *ΔΓ* πρὸς *ΓΗ*, ἡ *Κ* πρὸς τὴν διπλασίαν τῆς *ΓΔ*, τουτέστι τῆς *ΜΖ*, καὶ ὡς ἄρα ἡ *ΞΖ* πρὸς *ΖΝ*, ἡ *Κ* πρὸς τὴν διπλασίαν τῆς *ΜΖ*. ἐπεὶ οὖν ὑπερβολή ἐστιν ἡ *ΑΖ*, ἧς διάμετρος ἡ *ΑΒ*, ἐφαπτομένη δὲ ἡ *ΜΖ*, καὶ τεταγμένως ἦκται ἡ *ΑΝ*, καί ἐστιν, ὡς ἡ *ΞΖ* πρὸς *ΖΝ*, ἡ *Κ* πρὸς τὴν διπλασίαν τῆς *ΖΜ*, ὅσαι ἂν ἀπὸ τῆς τομῆς παράλληλοι τῇ *ΖΜ* ἀχθῶσιν ἐπὶ τὴν ἐπ' εὐθείας τῇ *ΕΖ*, δυνήσονται τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῆς *Κ* εὐθείας καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῶν πρὸς τῷ *Ζ* σημείῳ ὑπερβάλλον εἴδει ὁμοίῳ τῷ ὑπὸ *ΓΖ*, *Κ*.

3. πεποιείσθω V; corr. p. 13. *ΑΞΝ*] *ΑΝΞ* V; corr. p. 18. ἡ *Κ*] *ΗΚ* V; corr. p. 22. ἡ *Κ*] cp, *ΗΚ* V, sed corr. m. 1. 27. ὑπερβάλλοντα V; corr. Memus, sed nescio, an ferri possit. *ΓΖ*, *Κ*] *ΓΚΖ* V; corr. p.

plicatis latitudines habentibus rectas ab ipsis ad punctum contactus abscisas excedentibus figura simili spatio $\Gamma Z \times K$, manifestum est [prop. L]; nam

$$Z\Gamma = 2\Gamma E \text{ [prop. XXX]}.$$

dico igitur, idem etiam in sectione $Z\varDelta$ adcidere.

per Z enim sectionem $\varDelta Z$ contingens ducatur MZ, ordinateque ducatur $\varDelta \Xi N$. et quoniam oppositae sunt



$B\Gamma$, $\varDelta Z$, contingunt autem eas $\Gamma\varDelta$, MZ, aequales et parallelae erunt $\Gamma\varDelta$, MZ [u. Eutocius ad prop. XLIV]. uerum etiam $\Gamma E = EZ$; quare etiam $E\varDelta = EM$ [Eucl. I, 4][1]. et quoniam est $\varDelta\Gamma : \Gamma H = K : 2\Gamma\varDelta = K : 2MZ$, erit etiam [Eucl. VI, 4] $\Xi Z : ZN = K : 2MZ$. quoniam igitur $\varDelta Z$ hyperbola est, cuius diametrus est $\varDelta B$, contingens autem MZ, et ordinate ducta est $\varDelta N$, est autem

$$\Xi Z : ZN = K : 2ZM,$$

quaecunque rectae a sectione ad EZ productam rectae ZM parallelae ducuntur, quadratae aequales erunt rectangulo comprehenso recta K rectisque ab ipsis ad Z punctum abscisis excedenti figura simili spatio $\Gamma Z \times K$ [prop. L].

1) Uerba ἴση δέ lin. 16 — ἐστιν ἴση lin. 17 prorsus inutilia sunt.

Δεδειγμένων δὲ τούτων συμφανές, ὅτι ἐν μὲν τῇ παραβολῇ ἑκάστη τῶν παρὰ τὴν ἐκ τῆς γενέσεως διάμετρον ἀπαγομένων εὐθειῶν διάμετρός ἐστιν, ἐν δὲ τῇ ὑπερβολῇ καὶ τῇ ἐλλείψει καὶ ταῖς ἀντικειμέναις ἑκάστη τῶν διὰ τοῦ κέντρου ἀγομένων εὐθειῶν, καὶ διότι ἐν μὲν τῇ παραβολῇ αἱ καταγόμεναι ἐφ᾽ ἑκάστην τῶν διαμέτρων παρὰ τὰς ἐφαπτομένας τὰ παρὰ τὴν αὐτὴν παρακείμενα ὀρθογώνια δυνήσονται, ἐν δὲ τῇ ὑπερβολῇ καὶ ταῖς ἀντικειμέναις τὰ παρὰ τὴν αὐτὴν παρακείμενα χωρία καὶ ὑπερβάλλοντα τῷ αὐτῷ εἴδει, ἐν δὲ τῇ ἐλλείψει τὰ παρὰ τὴν αὐτὴν παρακείμενα καὶ ἐλλείποντα τῷ αὐτῷ εἴδει, καὶ διότι πάντα, ὅσα προδέδεικται περὶ τὰς τομὰς συμβαίνοντα συμπαραβαλλομένων τῶν ἀρχικῶν διαμέτρων, καὶ τῶν ἄλλων διαμέτρων παραλαμβανομένων τὰ αὐτὰ συμβήσεται.

νβ΄.

Εὐθείας δοθείσης ἐν ἐπιπέδῳ καθ᾽ ἓν σημεῖον πεπερασμένης εὑρεῖν ἐν τῷ ἐπιπέδῳ κώνου τομὴν τὴν καλουμένην παραβολήν, ἧς διάμετρος ἡ δοθεῖσα εὐθεῖα, κορυφὴ δὲ τὸ πέρας τῆς εὐθείας, ἥτις δὲ ἂν ἀπὸ τῆς τομῆς καταχθῇ ἐπὶ τὴν διάμετρον ἐν δοθείσῃ γωνίᾳ, δυνήσεται τὸ περιεχόμενον ὀρθογώνιον ὑπό τε τῆς ἀπολαμβανομένης ὑπ᾽ αὐτῆς πρὸς τῇ κορυφῇ τῆς τομῆς καὶ ἑτέρας τινὸς δοθείσης εὐθείας.

ἔστω θέσει δεδομένη εὐθεῖα ἡ AB *πεπερασμένη κατὰ τὸ* A, *ἑτέρα δὲ ἡ* $\Gamma\Delta$ *τῷ μεγέθει, ἡ δὲ δοθεῖσα γωνία ἔστω πρότερον ὀρθή· δεῖ δὴ εὑρεῖν ἐν τῷ ὑπο-*

---

1. *πόρισμα* add. p. 3. *ἀγομένων* p. 13. *συμπαραβαλλομένων*] *συμπαραλαμβανομένων* Halley. 16. *νβ΄*] p, om. V, m. 2 v. 23. *αὐτῆς*] cp, *αὐτῇ* supra scripto *σ* m. 1 V.

His autem demonstratis simul adparet, in parabola omnes rectas diametro originali parallelas diametros esse [prop. XLVI], in hyperbola autem et ellipsi et oppositis omnes rectas per centrum ductas [prop. XLVII—XLVIII], et in parabola rectas ad singulas diametros contingentibus parallelas ductas quadratas aequales esse rectangulis adplicatis eidem rectae [prop. XLIX], in hyperbola autem oppositisque spatiis eidem rectae adplicatis et eadem figura excedentibus [prop. L—LI], in ellipsi autem spatiis eidem rectae adplicatis et eadem figura deficientibus [prop. L], et omnia, quae antea demonstrauimus in sectionibus adcidere adhibitis diametris principalibus, etiam ceteris diametris adsumptis eadem adcidere.

LII.

Data in plano recta in uno puncto terminata in plano inuenire coni sectionem, parabola quae uocatur, ita ut eius diametrus sit data recta, uertex autem terminus rectae, et quaecunque recta a sectione in dato angulo ad diametrum ducitur, quadrata aequalis sit rectangulo comprehenso recta ab ea ad uerticem sectionis abscisa aliaque recta data.

positione data sit recta AB in A terminata, magnitudine autem alia $\Gamma\Delta$, angulus autem datus prius sit rectus. oportet igitur in plano subiacenti parabolam inuenire, ita ut eius diametrus sit AB, uertex autem A, latus autem rectum $\Gamma\Delta$, et rectae ordinate ductae in recto angulo ducantur, h. e. ita ut AB axis sit.

producatur AB ad E, et sumatur $\Gamma H = \frac{1}{4}\Gamma\Delta$, et sit $EA > \Gamma H$, sumatur autem Θ media rectarum κειμένῳ ἐπιπέδῳ παραβολήν, ἧς διάμετρος μὲν ἡ AB, κορυφὴ δὲ τὸ A, ὀρθία δὲ ἡ $\Gamma\Delta$, αἱ δὲ καταγόμεναι τεταγμένως ἐν ὀρθῇ γωνίᾳ καταχθήσονται, τουτέστιν ἵνα ἄξων ᾖ ἡ AB.

ἐκβεβλήσθω ἡ AB ἐπὶ τὸ E, καὶ εἰλήφθω τῆς $\Gamma\Delta$ τέταρτον μέρος ἡ ΓH, τῆς δὲ ΓH μείζων ἔστω ἡ EA, καὶ τῶν $\Gamma\Delta$, EA μέση ἀνάλογον εἰλήφθω ἡ Θ. ἔστιν ἄρα ὡς ἡ $\Gamma\Delta$ πρὸς EA, τὸ ἀπο Θ πρὸς τὸ ἀπὸ EA. ἡ δὲ $\Gamma\Delta$ τῆς EA ἐλάττων ἐστὶν ἢ τετραπλασία· καὶ τὸ ἀπὸ Θ ἄρα τοῦ ἀπὸ EA ἔλαττόν ἐστιν ἢ τετραπλάσιον. ἡ Θ ἄρα τῆς EA ἐλάττων ἐστὶν ἢ διπλῆ· ὥστε δύο αἱ EA τῆς Θ μείζονές εἰσι. δυνατὸν ἄρα ἐστὶν ἐκ τῆς Θ καὶ δύο τῶν EA τρίγωνον συστήσασθαι. συνεστάτω τοίνυν ἐπὶ τῆς EA τρίγωνον τὸ EAZ ὀρθὸν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον ὥστε ἴσην εἶναι τὴν μὲν EA τῇ AZ, τὴν δὲ Θ τῇ ZE, καὶ ἤχθω τῇ μὲν ZE παράλληλος ἡ AK, τῇ δὲ EA ἡ ZK, καὶ νοείσθω κῶνος, οὗ κορυφὴ τὸ Z σημεῖον, βάσις δὲ ὁ περὶ διάμετρον τὴν KA κύκλος ὀρθὸς ὢν πρὸς τὸ διὰ τῶν AZK ἐπίπεδον. ἔσται δὴ ὀρθὸς ὁ κῶνος· ἴση γὰρ ἡ AZ τῇ ZK. τετμήσθω δὲ ὁ κῶνος ἐπιπέδῳ παραλλήλῳ τῷ KA κύκλῳ, καὶ ποιείτω τομὴν τὸν $MN\Xi$ κύκλον, ὀρθὸν δηλονότι πρὸς τὸ διὰ τῶν MZN ἐπίπεδον, καὶ ἔστω τοῦ $MN\Xi$ κύκλου καὶ τοῦ MZN τριγώνου κοινὴ τομὴ ἡ MN· διάμετρος ἄρα ἐστὶ τοῦ κύκλου. ἔστω δὲ τοῦ ὑποκειμένου ἐπιπέδου καὶ τοῦ κύκλου κοινὴ τομὴ ἡ $\Xi\Lambda$. ἐπεὶ οὖν ὁ $MN\Xi$ κύκλος ὀρθός ἐστι πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, ὀρθὸς δέ ἐστι καὶ πρὸς τὸ MZN τρίγωνον, ἡ κοινὴ ἄρα αὐτῶν

---

10. ἄρα] scripsi; Δ V. ἔλαττον] ἐλάττων V; corr. Halley.

$\Gamma\Delta$, EA proportionalis. itaque $\Gamma\Delta : EA = \Theta^2 : EA^2$ [Eucl. V def. 9]. est autem $\Gamma\Delta < 4EA$; quare etiam $\Theta^2 < 4EA^2$; itaque $\Theta < 2EA$; quare $EA + EA > \Theta$. itaque fieri potest, ut ex Θ et duabus EA triangulus construatur [Eucl. I, 22]. construatur igitur in EA triangulus EAZ ad planum subiacens perpendicularis,



ita ut sit $EA = AZ$ et $\Theta = ZE$, et ducatur AK rectae ZE, ZK autem rectae EA parallela, et fingatur conus, cuius uertex sit punctum Z, basis autem circulus circum KA diametrum descriptus ad planum per rectas AZ, ZK perpendicularis. hic igitur conus rectus erit [def. 3]; nam $AZ = ZK$. secetur autem conus plano circulo KA parallelo, quod sectionem efficiat circulum $MN\Xi$ [prop. IV], perpendicularem scilicet ad planum rectarum MZ, ZN, et circuli $MN\Xi$ trianguli que MZN communis sectio sit MN; diametrus igitur erit circuli. communis autem sectio plani subiacentis circulique sit $\Xi\Lambda$. quoniam igitur $MN\Xi$ circulus ad planum subiacens perpendicularis[1]) est,

1) Hoc quidem falsum est; neque enim $MN\Xi$ ad planum subiacens perpendicularis esse potest. hoc intellegens Halleius scripsit lin. 28 sq.: ὀρθός ἐστι πρὸς τὸ MZN τρίγωνον, ὀρθὸν

τομὴ ἡ ΞΛ ὀρθή ἐστι πρὸς τὸ ΜΖΝ τρίγωνον, τουτέστι τὸ ΚΖΛ· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ τριγώνῳ ὀρθή ἐστιν· ὥστε καὶ πρὸς ἑκατέραν τῶν ΜΝ, ΑΒ. πάλιν ἐπεὶ κῶνος, οὗ βάσις μὲν ὁ ΜΝΞ κύκλος, κορυφὴ δὲ τὸ Ζ σημεῖον, τέτμηται ἐπιπέδῳ ὀρθῷ πρὸς τὸ ΜΖΝ τρίγωνον, καὶ ποιεῖ τομὴν τὸν ΜΝΞ κύκλον, τέτμηται δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τῷ ὑποκειμένῳ τέμνοντι τὴν βάσιν τοῦ κώνου κατ' εὐθεῖαν τὴν ΞΛ πρὸς ὀρθὰς οὖσαν τῇ ΜΝ, ἣ κοινή ἐστι τομὴ τοῦ τε ΜΝΞ κύκλου καὶ τοῦ ΜΖΝ τριγώνου, ἡ δὲ κοινὴ τομὴ τοῦ ὑποκειμένου ἐπιπέδου καὶ τοῦ ΜΖΝ τριγώνου ἡ ΑΒ παράλληλός ἐστι τῇ ΖΚΜ πλευρᾷ τοῦ κώνου, ἡ ἄρα γινομένη ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ τομὴ τοῦ κώνου παραβολή ἐστι, διάμετρος δὲ αὐτῆς ἡ ΑΒ, αἱ δὲ καταγόμεναι ἀπὸ τῆς τομῆς ἐπὶ τὴν ΑΒ τεταγμένως ἐν ὀρθῇ καταχθήσονται γωνίᾳ· παράλληλοι γάρ εἰσι τῇ ΞΛ πρὸς ὀρθὰς οὔσῃ τῇ ΑΒ. καὶ ἐπεὶ αἱ τρεῖς ἀνάλογόν εἰσιν αἱ ΓΔ, Θ, ΕΑ, ἴση δὲ ἡ μὲν ΕΑ τῇ ΑΖ καὶ τῇ ΖΚ, ἡ δὲ Θ τῇ ΕΖ καὶ τῇ ΑΚ, ἔστιν ἄρα, ὡς ἡ ΓΔ πρὸς ΑΚ, ἡ ΑΚ πρὸς ΑΖ. καὶ ὡς ἄρα ἡ ΓΔ πρὸς ΑΖ, τὸ ἀπὸ ΑΚ πρὸς τὸ ἀπὸ ΑΖ, τουτέστι τὸ ὑπὸ ΑΖΚ. ὀρθία ἄρα ἐστὶν ἡ ΓΔ τῆς τομῆς· τοῦτο γὰρ δέδεικται ἐν τῷ ια' θεωρήματι.

νγ'.

Τῶν αὐτῶν ὑποκειμένων μὴ ἔστω ἡ δοθεῖσα γωνία ὀρθή, καὶ κείσθω αὐτῇ ἴση ἡ ὑπὸ ΘΑΕ, καὶ τῆς ΓΔ

17. γωνίᾳ] γωνίαι V (qui alibi fere ι omittit, raro adscriptum habet); corr. p. 24. ια'] ᾱῑ Vv; corr p. 25. νγ'] cum Eutocio, om. V; νγ mg. p.

idem autem ad triangulum MZN perpendicularis est, communis eorum sectio $\Xi\varDelta$ perpendicularis est ad triangulum MZN [Eucl. XI, 19], h. e. ad $KZ\varDelta$; quare etiam ad omnes rectas eam tangentes et in triangulo positas perpendicularis est [Eucl. XI def. 3]. itaque etiam ad utramque MN, AB perpendicularis est. rursus quoniam conus, cuius basis est $MN\Xi$ circulus, uertex autem Z punctum, plano sectus est ad triangulum MZN perpendiculari, quod sectionem efficit circulum $MN\Xi$, uerum etiam alio plano sectus est, subiacenti scilicet, basim coni secundum rectam $\Xi\varDelta$ secanti perpendicularem ad MN, quae communis est sectio circuli $MN\Xi$ triangulique MZN, et AB communis sectio plani subiacentis triangulique MZN lateri coni ZKM parallela est, sectio coni in plano subiacenti orta parabola est, diametrus autem eius AB [prop. XI], et rectae a sectione ad AB ordinate ductae in angulo recto ducentur; nam parallelae sunt rectae $\Xi\varDelta$ ad AB perpendiculari. et quoniam est $\Gamma\varDelta : \Theta = \Theta : EA$, et $EA = AZ = ZK$, $\Theta = EZ = AK$, erit

$$\Gamma\varDelta : AK = AK : AZ.$$

quare etiam $\Gamma\varDelta : AZ = AK^2 : AZ^2$ [Eucl. V def. 9] $= AK^2 : AZ \times ZK$. ergo $\Gamma\varDelta$ latus rectum sectionis est; hoc enim in propositione XI demonstratum est.

LIII.

Iisdem suppositis ne sit rectus datus angulus, eique aequalis ponatur $\angle\, \Theta AE$, sit autem $A\Theta = \frac{1}{2}\Gamma\varDelta$,

---

δὲ καὶ τὸ ὑποκείμενον ἐπίπεδον πρὸς τὸ MZN τρίγωνον (praeeunte Memo). quae mutatio cum parum probabilis sit, praetulerim uerba ἐπεὶ οὖν lin. 27 — τρίγωνον lin. 29 delere; sed fortasse interpolatio peius etiam grassata est. etiam uerba τουτέστι τὸ $KZ\varDelta$ p. 162 lin. 1—2 inutilia sunt.

ἔστω ἡμίσεια ἡ ΑΘ, καὶ ἀπὸ τοῦ Θ ἐπὶ τὴν ΑΕ κάθετος ἤχθω ἡ ΘΕ, καὶ διὰ τοῦ Ε τῇ ΒΘ παράλληλος ἡ ΕΔ, καὶ ἀπὸ τοῦ Α ἐπὶ τὴν ΕΔ κάθετος ἤχθω ἡ ΑΔ, καὶ τετμήσθω ἡ ΕΔ δίχα κατὰ τὸ Κ, καὶ ἀπὸ τοῦ Κ τῇ ΕΔ πρὸς ὀρθὰς ἤχθω ἡ ΚΜ καὶ ἐκβεβλήσθω ἐπὶ τὰ Ζ, Η, καὶ τῷ ἀπὸ τῆς ΑΔ ἴσον ἔστω τὸ ὑπὸ ΔΚΜ. καὶ δύο δοθεισῶν εὐθειῶν τῶν ΔΚ, ΚΜ, τῆς μὲν ΚΔ θέσει πεπερασμένης κατὰ τὸ Κ, τῆς δὲ ΚΜ μεγέθει, καὶ γωνίας ὀρθῆς γεγράφθω παραβολή, ἧς διάμετρος ἡ ΚΔ, κορυφὴ δὲ τὸ Κ, ὀρθία δὲ ἡ ΚΜ, ὡς προδέδεικται· ἥξει δὲ διὰ τοῦ Α διὰ τὸ ἴσον εἶναι τὸ ἀπὸ ΑΔ τῷ ὑπὸ ΔΚΜ, καὶ ἐφάψεται τῆς τομῆς ἡ ΕΑ διὰ τὸ ἴσην εἶναι τὴν ΕΚ τῇ ΚΔ. καί ἐστιν ἡ ΘΑ τῇ ΕΚΔ παράλληλος· ἡ ΘΑΒ διάμετρος ἄρα ἐστὶ τῆς τομῆς, αἱ δὲ ἐπ' αὐτὴν ἀπὸ τῆς τομῆς καταγόμεναι παράλληλοι τῇ ΑΕ δίχα τμηθήσονται ὑπὸ τῆς ΑΒ. καταχθήσονται δὲ ἐν γωνίᾳ τῇ ὑπὸ ΘΑΕ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΕΘ γωνία τῇ ὑπὸ ΑΗΖ, κοινὴ δὲ ἡ πρὸς τῷ Α, ὅμοιον ἄρα ἐστὶ τὸ ΑΘΕ τρίγωνον τῷ ΑΗΖ. ὡς ἄρα ἡ ΘΑ πρὸς ΕΑ, ἡ ΖΑ πρὸς ΑΗ· ὡς ἄρα ἡ διπλασία τῆς ΑΘ πρὸς τὴν διπλασίαν τῆς ΑΕ, ἡ ΖΑ πρὸς ΑΗ. ἡ δὲ ΓΔ τῆς ΘΑ διπλῆ· ὡς ἄρα ἡ ΖΑ πρὸς ΑΗ, ἡ ΓΔ πρὸς τὴν διπλασίαν τῆς ΑΕ. διὰ δὴ τὰ δεδειγμένα ἐν τῷ μθ΄ θεωρήματι ὀρθία ἐστὶν ἡ ΓΔ.

---

11. δέ] (alt.) fort. δή. 13. ΕΚ] ΕΚΤ V; corr. p. 15. ἄρα διάμετρος p, Halley. 18. ΘΑΕ — 19. τῇ ὑπό] bis V; corr. p.

et a Θ ad AE perpendicularis ducatur ΘE, per E autem rectae $B\Theta$ parallela $E\varDelta$, et ab A ad $E\varDelta$ perpendicularis ducatur $A\varDelta$, $E\varDelta$ autem in K in duas partes aequales secetur, et a K ad $E\varDelta$ perpendicularis ducatur KM producaturque ad Z, H, et sit



$$\varDelta K \times KM = A\varDelta^2.$$

datis autem duabus rectis $\varDelta K$, KM, quarum $K\varDelta$ positione data est ad K terminata, KM autem magnitudine, et angulo recto describatur parabola, cuius diametrus sit $K\varDelta$, uertex autem K, et latus rectum KM, ita ut supra demonstratum est [prop. LII]; per A igitur ueniet, quia $\varDelta K \times KM = A\varDelta^2$ [prop. XI], et EA sectionem continget, quia $EK = K\varDelta$ [prop. XXXIII]. et ΘA rectae $EK\varDelta$ parallela est; itaque ΘAB diametrus sectionis est, et rectae a sectione ad eam ductae rectae AE parallelae ab AB in binas partes aequales secabuntur [prop. XLVI]. ducentur autem in angulo ΘAE [Eucl. I, 29]. et quoniam est $\angle AE\Theta = \angle AHZ$, communis autem angulus ad A positus, erit

$$A\Theta E \sim AHZ.$$

quare [Eucl. VI, 4] $\Theta A : EA = ZA : AH$. itaque $2A\Theta : 2AE = ZA : AH$ [Eucl. V, 15]. est autem $\Gamma\varDelta = 2\Theta A$; itaque $ZA : AH = \Gamma\varDelta : 2AE$. ergo propter ea, quae in propositione XLIX demonstrata sunt, $\Gamma\varDelta$ latus rectum est.

νδʹ.

Δύο δοθεισῶν εὐθειῶν πεπερασμένων πρὸς ὀρθὰς ἀλλήλαις τῆς ἑτέρας ἐκβαλλομένης ἐπὶ ταὐτὰ τῇ ὀρθῇ γωνίᾳ εὑρεῖν ἐπὶ τῆς προσεκβληθείσης κώνου τομὴν τὴν καλουμένην ὑπερβολὴν ἐν τῷ αὐτῷ ἐπιπέδῳ ταῖς εὐθείαις, ὅπως ἡ μὲν προσεκβληθεῖσα διάμετρος εἴη τῆς τομῆς, κορυφὴ δὲ τὸ πρὸς τῇ γωνίᾳ σημεῖον, ἥτις δὲ ἂν καταχθῇ ἀπὸ τῆς τομῆς ἐπὶ τὴν διάμετρον γωνίαν ποιοῦσα ἴσην τῇ δοθείσῃ, δυνήσεται παρακείμενον ὀρθογώνιον παρὰ τὴν ἑτέραν εὐθεῖαν πλάτος ἔχον τὴν ἀπολαμβανομένην ὑπὸ τῆς κατηγμένης πρὸς τῇ κορυφῇ ὑπερβάλλον εἴδει ὁμοίῳ καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν ἐξ ἀρχῆς εὐθειῶν.

ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι πεπερασμέναι πρὸς ὀρθὰς ἀλλήλαις αἱ ΑΒ, ΒΓ, καὶ ἐκβεβλήσθω ἡ ΑΒ ἐπὶ τὸ Δ· δεῖ δὴ εὑρεῖν ἐν τῷ διὰ τῶν ΑΒΓ ἐπιπέδῳ ὑπερβολήν, ἧς διάμετρος μὲν ἔσται ἡ ΑΒΔ, κορυφὴ δὲ τὸ Β, ὀρθία δὲ ἡ ΒΓ, αἱ δὲ καταγόμεναι ἀπὸ τῆς τομῆς ἐπὶ τὴν ΒΔ ἐν τῇ δοθείσῃ γωνίᾳ δυνήσονται τὰ παρὰ τὴν ΒΓ παρακείμενα πλάτη ἔχοντα τὰς ἀπολαμβανομένας ὑπ' αὐτῶν πρὸς τῷ Β ὑπερβάλλοντα εἴδει ὁμοίῳ καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν ΑΒΓ.

ἔστω ἡ δοθεῖσα γωνία πρότερον ὀρθή, καὶ ἀνεστάτω ἀπὸ τῆς ΑΒ ἐπίπεδον ὀρθὸν πρὸς τὸ ὑποκείμενον ἐπίπεδον, καὶ ἐν αὐτῷ περὶ τὴν ΑΒ κύκλος γεγράφθω ὁ ΑΕΒΖ, ὥστε τὸ τμῆμα τῆς διαμέτρου τοῦ κύκλου τὸ ἐν τῷ ΑΕΒ τμήματι πρὸς τὸ τμῆμα τῆς διαμέτρου

---

1. νδʹ] p, om. V. 3. ταὐτά] ταῦτα V; corr. p. 4. ἐπὶ τῆς προσεκβληθείσης] superuacua uidebantur Commandino

LIV.

Datis duabus rectis terminatis inter se perpendicularibus altera ad angulum rectum uersus producta in recta producta sectionem coni inuenire, hyperbola quae uocatur, in plano rectarum posita, ita ut recta producta diametrus sectionis sit, uertex autem punctum ad angulum positum, et quaecunque recta a sectione ad diametrum ducitur angulum efficiens dato aequalem, quadrata aequalis sit rectangulo alteri rectae adplicato latitudinem habenti rectam ab ordinate ducta ad uerticem abscisam excedenti figura simili similiterque posita figurae rectis a principio datis comprehensae.

sint datae duae rectae terminatae inter se perpendiculares AB, $B\Gamma$, producaturque AB ad Δ. oportet igitur in plano rectarum AB, $B\Gamma$ hyperbolam inuenire, cuius diametrus sit $AB\Delta$, uertex autem B, latus rectum autem $B\Gamma$, et rectae a sectione ad $B\Delta$ in dato angulo ductae quadratae aequales sint spatiis rectae $B\Gamma$ adplicatis latitudines habentibus rectas ab iis ad B abscisas excedentibus figura simili similiterque posita rectangulo $AB \times B\Gamma$.

prius igitur angulus datus rectus sit, et in AB planum ad planum subiacens perpendiculare erigatur, et in eo circum AB circulus describatur $AEBZ$, ita ut pars diametri circuli in segmento AEB posita ad partem diametri in AZB positam maiorem rationem non habeat quam $AB : B\Gamma$ [u. Eutocius], et AEB in puncto E in duas partes aequales secetur, ab E

---

fol. 34v. 6. εἴη] ἦ p. 13. τῷ] om. V; corr. p. 19. τῆς] cvp, in V litt. σ in ras. est m. 1. 21. τῷ] τό V; corr. p.

τὸ ἐν τῷ ΑΖΒ μὴ μείζονα λόγον ἔχειν τοῦ ὃν ἔχει ἡ ΑΒ πρὸς ΒΓ, καὶ τετμήσθω ἡ ΑΕΒ δίχα κατὰ τὸ Ε, καὶ ἤχθω ἀπὸ τοῦ Ε ἐπὶ τὴν ΑΒ κάθετος ἡ ΕΚ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Δ· διάμετρος ἄρα ἐστὶν ἡ ΕΔ. εἰ μὲν οὖν ἐστιν, ὡς ἡ ΑΒ πρὸς ΒΓ, ἡ ΕΚ πρὸς ΚΔ, τῷ Δ ἂν ἐχρησάμεθα, εἰ δὲ μή, γινέσθω ὡς ἡ ΑΒ πρὸς ΒΓ, ἡ ΕΚ πρὸς ἐλάσσονα τῆς ΚΔ τὴν ΚΜ, καὶ διὰ τοῦ Μ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΜΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΕΖ, ΖΒ, καὶ διὰ τοῦ Β τῇ ΖΕ παράλληλος ἡ ΒΞ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΑΖΕ γωνία τῇ ὑπὸ ΕΖΒ, ἀλλ' ἡ μὲν ὑπὸ ΑΖΕ τῇ ὑπὸ ΑΞΒ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΕΖΒ τῇ ὑπὸ ΞΒΖ ἐστιν ἴση, καὶ ἡ ὑπὸ ΞΒΖ ἄρα τῇ ὑπὸ ΖΞΒ ἐστιν ἴση· ἴση ἄρα καὶ ἡ ΖΒ τῇ ΖΞ. νοείσθω κῶνος, οὗ κορυφὴ μὲν τὸ Ζ σημεῖον, βάσις δὲ ὁ περὶ τὴν ΒΞ διάμετρον κύκλος ὀρθὸς ὢν πρὸς τὸ ΒΖΞ τρίγωνον· ἔσται δὴ ὁ κῶνος ὀρθός· ἴση γὰρ ἡ ΖΒ τῇ ΖΞ. ἐκβεβλήσθωσαν δὴ αἱ ΒΖ, ΖΞ, ΜΖ, καὶ τετμήσθω ὁ κῶνος ἐπιπέδῳ παραλλήλῳ τῷ ΒΞ κύκλῳ· ἔσται δὴ ἡ τομὴ κύκλος. ἔστω ὁ ΗΠΡ· ὥστε διάμετρος ἔσται τοῦ κύκλου ἡ ΗΘ. κοινὴ δὲ τομὴ τοῦ ΗΘ κύκλου καὶ τοῦ ὑποκειμένου ἐπιπέδου ἔστω ἡ ΠΔΡ· ἔσται δὴ ἡ ΠΔΡ πρὸς ἑκατέραν τῶν ΗΘ, ΔΒ ὀρθή· ἑκάτερος γὰρ τῶν ΞΒ, ΘΗ κύκλος ὀρθός ἐστι πρὸς τὸ ΖΗΘ τρίγωνον, ἔστι δὲ καὶ τὸ ὑποκείμενον ἐπίπεδον ὀρθὸν πρὸς τὸ ΖΗΘ· καὶ ἡ κοινὴ ἄρα αὐτῶν τομὴ ἡ ΠΔΡ ὀρθή ἐστι πρὸς τὸ ΖΗΘ· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς εὐθείας καὶ οὔσας ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὀρθὰς ποιεῖ γωνίας. καὶ

1. μείζονα λόγον] p, μεῖζον ἀνάλογον V; corr. v (in ι circumflexus in acutum mut. m. 1). 17. ΖΒ] c, Β e corr.

autem ad AB perpendicularis ducatur EK producaturque ad $\varDelta$; $E\varDelta$ igitur diametrus est [Eucl. III, 1]. iam si sit $AB : B\Gamma = EK : K\varDelta$, puncto $\varDelta$ utamur; sin minus, fiat $AB : B\Gamma = EK : KM$ minorem quam $K\varDelta$, et per M rectae AB parallela ducatur MZ, ducanturque AZ, EZ, ZB, et per B rectae ZE parallela ducatur $B\Xi$. quoniam igitur est

$$\angle AZE = \angle EZB \text{ [Eucl. III, 27]},$$

est autem $\angle AZE = \angle A\Xi B$, $\angle EZB = \angle \Xi BZ$ [Eucl. I, 29], erit etiam $\angle \Xi BZ = \angle Z\Xi B$; quare etiam $ZB = Z\Xi$ [Eucl. I, 6]. fingatur conus, cuius uertex sit Z punctum, basis autem circulus circum $B\Xi$ diametrum descriptus ad triangulum $BZ\Xi$ perpendicularis. is conus igitur rectus erit [def. 3]; nam $ZB = Z\Xi$. producantur igitur $BZ, Z\Xi, MZ$, conusque plano circulo $B\Xi$ parallelo secetur; sectio igitur circulus erit [prop. IV]. sit $H\Pi P$. $H\Theta$ igitur diametrus circuli erit [prop. IV coroll.].



communis autem sectio circuli $H\Theta$ planique subiacentis sit $\Pi\varDelta P$; erit igitur $\Pi\varDelta P$ ad utramque $H\Theta, \varDelta B$ perpendicularis; nam uterque circulus ΞB, ΘH ad triangulum $ZH\Theta$ perpendicularis est, planum autem subiacens et ipsum ad $ZH\Theta$ perpendiculare est; itaque

m. 1 V. 18. $Z\Xi$] (pr.) c, Ξ e corr. m. 1 V. 24. ἑκάτερος — 29. γωνίας] mihi suspecta.

ἐπεὶ κῶνος, οὗ βάσις μὲν ὁ $Η\Theta$ κύκλος, κορυφὴ δὲ τὸ Z, τέτμηται ἐπιπέδῳ ὀρθῷ πρὸς τὸ $ZH\Theta$ τρίγωνον, τέτμηται δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τῷ ὑποκειμένῳ κατ' εὐθεῖαν τὴν $\Pi\Delta P$ πρὸς ὀρθὰς τῇ $H\Delta\Theta$, ἡ δὲ κοινὴ τομὴ τοῦ τε ὑποκειμένου ἐπιπέδου καὶ τοῦ $HZ\Theta$, τουτέστιν ἡ ΔB, ἐκβαλλομένη ἐπὶ τὸ B συμπίπτει τῇ HZ κατὰ τὸ A, ὑπερβολὴ ἄρα ἔσται ἡ τομὴ διὰ τὰ προδεδειγμένα ἡ ΠBP, ἧς κορυφὴ μέν ἐστι τὸ B σημεῖον, αἱ δὲ καταγόμεναι ἐπὶ τὴν $B\Delta$ τεταγμένως ἐν ὀρθῇ γωνίᾳ καταχθήσονται· παράλληλοι γάρ εἰσι τῇ $\Pi\Delta P$. καὶ ἐπεί ἐστιν, ὡς ἡ AB πρὸς $B\Gamma$, ἡ EK πρὸς KM, ὡς δὲ ἡ EK πρὸς KM, ἡ EN πρὸς NZ, τουτέστι τὸ ὑπὸ ENZ πρὸς τὸ ἀπὸ NZ, ὡς ἄρα ἡ AB πρὸς $B\Gamma$, τὸ ὑπὸ ENZ πρὸς τὸ ἀπὸ NZ. ἴσον δὲ τὸ ὑπὸ ENZ τῷ ὑπὸ ANB· ὡς ἄρα ἡ AB πρὸς ΓB, τὸ ὑπὸ ANB πρὸς τὸ ἀπὸ NZ. τὸ δὲ ὑπὸ ANB πρὸς τὸ ἀπὸ NZ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς AN πρὸς NZ καὶ τῆς BN πρὸς NZ· ἀλλ' ὡς μὲν ἡ AN πρὸς NZ, ἡ $A\Delta$ πρὸς ΔH καὶ ἡ ZO πρὸς OH, ὡς δὲ ἡ BN πρὸς NZ, ἡ ZO πρὸς $O\Theta$· ἡ ἄρα AB πρὸς $B\Gamma$ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ ὃν ἔχει ἡ ZO πρὸς OH καὶ ἡ ZO πρὸς $O\Theta$, τουτέστι τὸ ἀπὸ ZO πρὸς τὸ ὑπὸ $HO\Theta$. ἔστιν ἄρα, ὡς ἡ AB πρὸς $B\Gamma$, τὸ ἀπὸ ZO πρὸς τὸ ὑπὸ $HO\Theta$. καί ἐστι παράλληλος ἡ ZO τῇ $A\Delta$· πλαγία μὲν ἄρα πλευρά ἐστιν ἡ AB, ὀρθία δὲ ἡ $B\Gamma$· ταῦτα γὰρ ἐν τῷ ιβ' θεωρήματι δέδεικται.

2. ἐπιπέδῳ — 3. τέτμηται] om. V; addidi praeeuntibus Memo et Halleio (qui praeterea addunt καὶ ποιεῖ τομὴν τὸν $H\Pi\Theta P$ κύκλον, cfr. p. 162, 6 sq., et lin. 3 post ὑποκειμένῳ uerba τέμνοντι τὴν βάσιν τοῦ κώνου). 27. τῷ ιβ'] ὧ β' V; corr. p.

etiam communis eorum sectio $\Pi\Delta P$ ad $ZH\Theta$ perpendicularis est [Eucl. XI, 19]; quare etiam ad omnes rectas eam tangentes et in eodem plano positas rectos angulos efficit [Eucl. XI def. 3]. et quoniam conus, cuius basis est $H\Theta$ circulus, uertex autem Z, plano sectus est ad triangulum $ZH\Theta$ perpendiculari, uerum etiam alio plano sectus est, subiacenti scilicet, secundum rectam $\Pi\Delta P$ ad $H\Delta\Theta$ perpendicularem, et communis sectio plani subiacentis triangulique $HZ\Theta$, hoc est ΔB, ad B uersus producta cum HZ in A concurrit, propter ea, quae antea demonstrauimus [prop. XII], hyperbola erit ΠBP, cuius uertex est B punctum, rectae autem ad $B\Delta$ ordinate ductae in recto angulo ducentur; nam rectae $\Pi\Delta P$ parallelae erunt. et quoniam est $AB : B\Gamma = EK : KM$, et $EK : KM = EN : NZ$ [Eucl. VI, 2] $= EN \times NZ : NZ^2$, erit

$$AB : B\Gamma = EN \times NZ : NZ^2.$$

est autem

$$EN \times NZ = AN \times NB \text{ [Eucl. III, 35].}$$

quare

$$AB : \Gamma B = AN \times NB : NZ^2.$$

est autem

$$AN \times NB : NZ^2 = (AN : NZ) \times (BN : NZ),$$

et

$$AN : NZ = A\Delta : \Delta H = ZO : OH \text{ [Eucl. VI, 4],}$$

et [ib.] $BN : NZ = ZO : O\Theta$. itaque

$$AB : B\Gamma = (ZO : OH) \times (ZO : O\Theta) = ZO^2 : HO \times O\Theta.$$

quare $AB : B\Gamma = ZO^2 : HO \times O\Theta$. et ZO rectae $A\Delta$ parallela est. ergo AB latus transuersum est, rectum autem $B\Gamma$; haec enim in propositione XII demonstrata sunt.

νε'.

Μὴ ἔστω δὴ ἡ δεδομένη γωνία ὀρθή, καὶ ἔστωσαν αἱ δοθεῖσαι εὐθεῖαι αἱ ΑΒ, ΑΓ, ἡ δὲ δοθεῖσα γωνία ἔστω ἴση τῇ ὑπὸ τῶν ΒΑΘ· δεῖ δὴ γράψαι ὑπερβολήν, ἧς διάμετρος μὲν ἔσται ἡ ΑΒ, ὀρθία δὲ ἡ ΑΓ, αἱ δὲ καταγόμεναι ἐν τῇ ὑπὸ ΘΑΒ γωνίᾳ καταχθήσονται.

τετμήσθω ἡ ΑΒ δίχα κατὰ τὸ Δ, καὶ ἐπὶ τῆς ΑΔ γεγράφθω ἡμικύκλιον τὸ ΑΖΔ, καὶ ἤχθω τις εἰς τὸ ἡμικύκλιον παράλληλος τῇ ΑΘ ἡ ΖΗ ποιοῦσα τὸν τοῦ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΔΗΑ λόγον τὸν αὐτὸν τῷ τῆς ΑΓ πρὸς ΑΒ, καὶ ἐπεζεύχθω ἡ ΖΘΔ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Δ, καὶ τῶν ΖΔΘ μέση ἀνάλογον ἔστω ἡ ΔΛ, καὶ κείσθω τῇ ΛΔ ἴση ἡ ΔΚ, τῷ δὲ ἀπὸ τῆς ΑΖ ἴσον ἔστω τὸ ὑπὸ ΛΖΜ, καὶ ἐπεζεύχθω ἡ ΚΜ, καὶ διὰ τοῦ Λ πρὸς ὀρθας ἤχθω τῇ ΚΖ ἡ ΛΝ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ξ. καὶ δύο δοθεισῶν εὐθειῶν πεπερασμένων πρὸς ὀρθὰς ἀλλήλαις τῶν ΚΛ, ΛΝ γεγράφθω ὑπερβολή, ἧς πλαγία μὲν πλευρὰ ἔσται ἡ ΚΛ, ὀρθία δὲ ἡ ΛΝ, αἱ δὲ καταγόμεναι ἐπὶ τὴν διάμετρον ἀπὸ τῆς τομῆς ἐν ὀρθῇ γωνίᾳ καταχθήσονται πλάτη ἔχουσαι τὰς ἀπολαμβανομένας ὑπ' αὐτῶν πρὸς τῷ Λ ὑπερβάλλοντα εἴδει ὁμοίῳ τῷ ὑπὸ ΚΛΝ· ἥξει δὲ ἡ τομὴ διὰ τοῦ Α· ἴσον γάρ ἐστι τὸ ἀπὸ ΑΖ τῷ ὑπὸ ΛΖΜ. καὶ ἐφάψεται αὐτῆς ἡ ΑΘ· τὸ γὰρ ὑπὸ ΖΔΘ ἴσον ἐστὶ τῷ ἀπὸ ΔΛ. ὥστε ἡ ΑΒ διάμετρός ἐστι τῆς τομῆς. καὶ ἐπεί ἐστιν ὡς

1. νε'] p, Eutocius; om. V. 3. αἱ] (alt.) p; om. V (ἡ Halley). 9. ΑΖΔ] Δ e corr. m. 1 V. 12. ΑΒ] τὴν διπλασίαν τῆς ΑΔ Comm. fol. 38^v cum Eutocio. 13. ἐπὶ τὸ Δ] scripsi coll. p. 170, 6; ἴση ἡ Δ V, ἡ ΖΔ p; om. Memus,

LV.

Iam igitur datus angulus rectus ne sit, et datae rectae sint AB, $A\Gamma$, datus autem angulus angulo $BA\Theta$ aequalis sit. oportet igitur hyperbolam describere, ita ut diametrus sit AB, latus rectum autem $A\Gamma$, et ordinate ductae in angulo ΘAB ducantur.

secetur AB in duas partes aequales in Δ, et in $A\Delta$ semicirculus describatur $AZ\Delta$, ad semicirculum autem recta ducatur ZH rectae $A\Theta$ parallela, quae faciat $ZH^2 : \Delta H \times HA = A\Gamma : AB$, ducaturque $Z\Theta\Delta$ et ad Δ uersus producatur, et sit $\Delta\Lambda$ rectarum $Z\Delta$, $\Delta\Theta$ media proportionalis, fiatque $\Delta K = \Lambda\Delta$,

$$\Lambda Z \times ZM = AZ^2,$$

et ducatur KM, per Λ autem ad KZ perpendicularis ducatur ΛN producaturque ad Ξ. et datis duabus rectis terminatis inter se perpendicularibus $K\Lambda$, ΛN hyperbola describatur, cuius latus transuersum sit $K\Lambda$, rectum autem ΛN, et rectae a sectione ad diametrum ductae in angulo recto ducantur latitudines habentes rectas ab iis ad Λ abscisas excedentes figura simili rectangulo $K\Lambda \times \Lambda N$ [prop. LIV]; sectio igitur ea per A



Comm., Halley. 14. ἴση] c, ι corr. ex η V. 15. τῆς AZ ἴσον] ἴσων V; corr. p. 17. ἐπὶ τὸ Ξ] ἐπὶ τὰ O, Ξ Halley. 20. ἔσται] ἔστω Halley praeeunte Comm. 22. ἔχουσαι] καὶ δυνήσονται τὰ παρὰ τὴν ΛN παρακείμενα ὀρθογώνια πλάτη ἔχοντα Halley praeeunte Commandino. 24. δέ] c et, ut uidetur, V; δή p, Halley.

ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΔ, τουτέστι τὴν ΑΒ, τὸ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΔΗΑ, ἀλλ' ἡ μὲν ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΔ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ ὃν ἔχει ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ καὶ ἐκ τοῦ ὃν ἔχει ἡ διπλασία τῆς ΑΘ πρὸς τὴν διπλασίαν τῆς ΔΑ, τουτέστιν ἡ ΘΑ πρὸς ΑΔ, τουτέστιν ἡ ΖΗ πρὸς ΗΔ, ἡ ΓΑ ἄρα πρὸς ΑΒ τὸν συγκείμενον ἔχει λόγον ἔκ τε τοῦ τῆς ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ καὶ τοῦ τῆς ΖΗ πρὸς ΗΔ. ἔχει δὲ καὶ τὸ ἀπο ΖΗ πρὸς τὸ ὑπὸ ΔΗΑ τὸν συγκείμενον λόγον ἐκ τοῦ ὃν ἔχει ἡ ΖΗ πρὸς ΗΔ καὶ ἡ ΖΗ πρὸς ΗΑ· ὁ ἄρα συγκείμενος λόγος ἐκ τοῦ τῆς ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ καὶ τοῦ τῆς ΖΗ πρὸς ΗΔ ὁ αὐτός ἐστι τῷ συγκειμένῳ ἐκ τοῦ τῆς ΖΗ πρὸς ΗΑ καὶ τοῦ τῆς ΖΗ πρὸς ΗΔ. κοινὸς ἀφῃρήσθω ὁ τῆς ΖΗ πρὸς ΗΔ λόγος· ἔστιν ἄρα ὡς ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ, ἡ ΖΗ πρὸς ΗΑ. ὡς δὲ ἡ ΖΗ πρὸς ΗΑ, ἡ ΟΑ πρὸς ΑΞ· ὡς ἄρα ἡ ΓΑ πρὸς τὴν διπλασίαν τῆς ΑΘ, ἡ ΟΑ πρὸς ΑΞ. ὅταν δὲ τοῦτο ᾖ, παρ' ἣν δύνανταί ἐστιν ἡ ΑΓ· τοῦτο γὰρ δέδεικται ἐν τῷ ν' θεωρήματι.

νς'.

Δύο δοθεισῶν εὐθειῶν πεπερασμένων πρὸς ὀρθὰς ἀλλήλαις εὑρεῖν περὶ διάμετρον τὴν ἑτέραν αὐτῶν κώνου τομὴν τὴν καλουμένην ἔλλειψιν ἐν τῷ αὐτῷ ἐπιπέδῳ ταῖς εὐθείαις, ἧς κορυφὴ ἔσται τὸ πρὸς τῇ ὀρθῇ γωνίᾳ σημεῖον, αἱ δὲ καταγόμεναι ἀπὸ τῆς τομῆς ἐπὶ τὴν διάμετρον ἐν γωνίᾳ δοθείσῃ δυνήσονται τα

5. ἐκ τοῦ] ἐξ οὗ V; corr. Halley. 22. νς'] p, Eutocius; om. V. 24. εὑρεῖν] εὕρῃ V; corr. p.

ueniet, quia $AZ^2 = AZ \times ZM$ [prop. XII]. et eam continget $A\Theta$ [prop. XXXVII]; nam $Z\Delta \times \Delta\Theta = \Delta A^2$. quare AB diametrus sectionis est [prop. LI coroll.]. et quoniam est

$$\Gamma A : 2A\Delta = \Gamma A : AB = ZH^2 : \Delta H \times HA,$$

et

$$\Gamma A : 2A\Delta = (\Gamma A : 2A\Theta) \times (2A\Theta : 2\Delta A),$$

et

$2A\Theta : 2\Delta A = \Theta A : A\Delta = ZH : H\Delta$ [Eucl. VI, 4], erit

$$\Gamma A : AB = (\Gamma A : 2A\Theta) \times (ZH : H\Delta).$$

uerum etiam

$$ZH^2 : \Delta H \times HA = (ZH : H\Delta) \times (ZH : HA).$$

itaque

$$(\Gamma A : 2A\Theta) \times (ZH : H\Delta) = (ZH : HA) \times (ZH : H\Delta).$$

auferatur, quae communis est, ratio $ZH : H\Delta$. itaque $\Gamma A : 2A\Theta = ZH : HA$. est autem [Eucl. VI, 4] $ZH : HA = OA : A\Xi$. itaque erit

$$\Gamma A : 2A\Theta = OA : A\Xi.$$

sin hoc est, parametrus est $A\Gamma$; hoc enim in propositione L demonstratum est.

LVI.

Datis duabus rectis terminatis inter se perpendicularibus circum alteram earum diametrum descriptam coni sectionem inuenire, ellipsis quae uocatur, in plano rectarum positam, ita ut uertex sit punctum ad rectum angulum positum, rectae autem a sectione ad diametrum in dato angulo ductae quadratae aequales sint rectangulis alteri rectae adplicatis latitudinem habentibus παρακείμενα ὀρθογώνια παρὰ τὴν ἑτέραν εὐθεῖαν πλάτος ἔχοντα τὴν ἀπολαμβανομένην ὑπ' αὐτῶν πρὸς τῇ κορυφῇ τῆς τομῆς ἐλλείποντα εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν δοθεισῶν εὐθειῶν περιεχομένῳ.

ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ AB, $A\Gamma$ πρὸς ὀρθὰς ἀλλήλαις, ὧν μείζων ἡ AB· δεῖ δὴ ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ γράψαι ἔλλειψιν, ἧς διάμετρος μὲν ἔσται ἡ AB, κορυφὴ δὲ τὸ A, ὀρθία δὲ ἡ $A\Gamma$, αἱ δὲ καταγόμεναι καταχθήσονται ἀπὸ τῆς τομῆς ἐπὶ τὴν AB ἐν δεδομένῃ γωνίᾳ καὶ δυνήσονται τὰ παρὰ τὴν $A\Gamma$ παρακείμενα πλάτη ἔχοντα τὰς ἀπολαμβανομένας ὑπ' αὐτῶν πρὸς τῷ A ἐλλείποντα εἴδει ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ὑπὸ τῶν $BA\Gamma$.

ἔστω δὲ ἡ δοθεῖσα γωνία πρότερον ὀρθή, καὶ ἀνεστάτω ἀπὸ τῆς AB ἐπίπεδον ὀρθὸν πρὸς τὸ ὑποκείμενον, καὶ ἐν αὐτῷ ἐπὶ τῆς AB τμῆμα κύκλου γεγράφθω τὸ $A\Delta B$, οὗ διχοτομία ἔστω τὸ Δ, καὶ ἐπεζεύχθωσαν αἱ ΔA, ΔB, καὶ κείσθω τῇ $A\Gamma$ ἴση ἡ $A\Xi$, καὶ διὰ τοῦ Ξ τῇ ΔB παράλληλος ἤχθω ἡ ΞO, διὰ δὲ τοῦ O τῇ AB παράλληλος ἡ OZ, καὶ ἐπεζεύχθω ἡ ΔZ καὶ συμπιπτέτω τῇ AB ἐκβληθείσῃ κατὰ τὸ E· ἔσται δή, ὡς ἡ AB πρὸς $A\Gamma$, ἡ BA πρὸς $A\Xi$, τουτέστιν ἡ ΔA πρὸς AO, τουτέστιν ἡ ΔE πρὸς EZ. καὶ ἐπεζεύχθωσαν αἱ AZ, ZB καὶ ἐκβεβλήσθωσαν, καὶ εἰλήφθω ἐπὶ τῆς ZA τυχὸν σημεῖον τὸ H, καὶ δι' αὐτοῦ τῇ ΔE παράλληλος ἤχθω ἡ HA καὶ συμπιπτέτω τῇ AB ἐκβληθείσῃ κατὰ τὸ K· ἐκβεβλήσθω δὴ ἡ ZO καὶ συμπιπτέτω τῇ HK κατὰ

13. τῷ] c, corr. ex τό m. 1 V. 15. δέ] fort. δή. δοθεῖσα] c, ϑ corr. ex δ m. 1 V.

rectam ab iis ad uerticem sectionis abscisam deficientibus figura simili similiterque posita rectangulo datis rectis comprehenso.

sint datae duae rectae AB, $A\Gamma$ inter se perpendiculares, quarum maior sit AB. oportet igitur in plano subiacenti ellipsim describere, ita ut eius diametrus sit AB, uertex autem A, latus rectum autem $A\Gamma$, et rectae ordinate a sectione ad AB ductae in dato angulo ducantur et quadratae aequales sint spatiis rectae $A\Gamma$ adplicatis latitudines habentibus rectas ab iis ad A abscisas deficientibus figura simili similiterque posita rectangulo $BA \times A\Gamma$.



prius igitur angulus datus rectus sit, et in AB planum ad subiacens perpendiculare erigatur, in eoque in AB segmentum circuli describatur $A\Delta B$, cuius punctum medium sit Δ, ducanturque ΔA, ΔB, et ponatur $A\Xi = A\Gamma$, per Ξ autem rectae ΔB parallela ducatur ΞO, per O autem rectae AB parallela OZ, et ducatur ΔZ concurratque cum AB producta in E. erit igitur [Eucl. V, 7]

$$AB : A\Gamma = BA : A\Xi = \Delta A : AO \text{ [Eucl. VI, 4]}$$
$$= \Delta E : EZ \text{ [Eucl. VI, 2].}$$

ducantur AZ, ZB producanturque, et in $Z\Delta$ punctum

Figuram bis hab. V.

τὸ Α. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΔ περιφέρεια τῇ ΔΒ, ἴση ἐστὶν ἡ ὑπὸ ΑΒΔ γωνία τῇ ὑπὸ ΔΖΒ. καὶ ἐπεὶ ἡ ὑπὸ ΕΖΑ γωνία δυσὶ ταῖς ὑπὸ ΖΔΑ, ΖΑΔ ἐστιν ἴση, ἀλλ' ἡ μὲν ὑπὸ ΖΑΔ τῇ ὑπὸ ΖΒΔ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΖΔΑ τῇ ὑπὸ ΖΒΑ, καὶ ἡ ὑπὸ ΕΖΑ ἄρα τῇ ὑπὸ ΔΒΑ ἐστιν ἴση, τουτέστι τῇ ὑπὸ ΒΖΔ. ἔστι δὲ καὶ παράλληλος ἡ ΔΕ τῇ ΑΗ· ἡ ἄρα ὑπὸ ΕΖΑ τῇ ὑπὸ ΖΗΘ ἐστιν ἴση, ἡ δὲ ὑπὸ ΔΖΒ τῇ ὑπὸ ΖΘΗ. ὥστε καὶ ἡ ὑπὸ ΖΗΘ τῇ ὑπὸ ΖΘΗ ἐστιν ἴση, καὶ ἡ ΖΗ τῇ ΖΘ ἐστιν ἴση.

γεγράφθω δὴ περὶ τὴν ΘΗ κύκλος ὁ ΗΘΝ ὀρθὸς πρὸς τὸ ΘΗΖ τρίγωνον, καὶ νοείσθω κῶνος, οὗ βάσις μὲν ὁ ΗΘΝ κύκλος, κορυφὴ δὲ τὸ Ζ σημεῖον· ἔσται δὴ ὁ κῶνος ὀρθὸς διὰ τὸ ἴσην εἶναι τὴν ΗΖ τῇ ΖΘ. καὶ ἐπεὶ ὁ ΗΘΝ κύκλος ὀρθός ἐστι πρὸς τὸ ΘΗΖ ἐπίπεδον, ἔστι δὲ καὶ τὸ ὑποκείμενον ἐπίπεδον ὀρθὸν πρὸς τὸ διὰ τῶν ΗΘΖ ἐπίπεδον, καὶ ἡ κοινὴ τομὴ αὐτῶν ἄρα πρὸς τὸ διὰ τῶν ΗΘΖ ἐπίπεδον ὀρθὴ ἔσται. ἔστω δὴ ἡ κοινὴ τομὴ αὐτῶν ἡ ΚΜ· ἡ ΚΜ ἄρα ὀρθή ἐστι πρὸς ἑκατέραν τῶν ΑΚ, ΚΗ. καὶ ἐπεὶ κῶνος, οὗ βάσις μὲν ὁ ΗΘΝ κύκλος, κορυφὴ δὲ τὸ Ζ σημεῖον, τέτμηται ἐπιπέδῳ διὰ τοῦ ἄξονος καὶ ποιεῖ τομὴν τὸ ΗΘΖ τρίγωνον, τέτμηται δὲ καὶ ἑτέρῳ ἐπιπέδῳ τῷ διὰ τῶν ΑΚ, ΚΜ, ὅ ἐστι τὸ ὑποκείμενον, κατ' εὐθεῖαν τὴν ΚΜ πρὸς ὀρθὰς οὖσαν τῇ ΗΚ, καὶ τὸ ἐπίπεδον συμπίπτει ταῖς ΖΗ, ΖΘ πλευραῖς τοῦ κώνου, ἡ ἄρα γινομένη τομὴ ἔλλειψίς ἐστιν, ἧς διάμετρός

3. ΖΔΑ, ΖΑΔ] scripsi; ΞΑΔ V (ΖΑΔ, ΑΔΖ p; ΖΑΔ, ΖΔΑ iam Halley praeeunte Memo). 4. ΖΑΔ] ΖΔΑ V; corr. p. ΖΒΔ] vp; Β e corr. m. 1 Vc. 5. ΖΒΑ] pvc; Β e corr. m. 1 V. 9. ΖΘΗ] (pr.) pvc; Η e corr. m. 1 V. ΖΘΗ] (alt.) pvc; Η e corr. m. 1 V. 13. ΗΘΝ] ΗΘΚ V; corr. p.

aliquod H sumatur, per id autem rectae ΔE parallela ducatur $H\Lambda$, quae cum AB producta in K concurrat. producatur igitur ZO et cum HK in Λ concurrat. quoniam igitur arcus $A\Delta$ arcui ΔB aequalis est, erit [Eucl. III, 27] $\angle AB\Delta = \angle \Delta ZB$. et quoniam est [Eucl. I, 32] $\angle EZA = Z\Delta A + ZA\Delta$, et

$$\angle ZA\Delta = \angle ZB\Delta,$$

$\angle Z\Delta A = \angle ZBA$ [Eucl. III, 27], erit etiam

$$\angle EZA = \angle \Delta BA = \angle BZ\Delta.$$

uerum etiam ΔE parallela est rectae ΛH. quare $\angle EZA = \angle ZH\Theta$, $\angle \Delta ZB = \angle Z\Theta H$ [Eucl. I, 29]. quare etiam $\angle ZH\Theta = \angle Z\Theta H$ et [Eucl. I, 6] $ZH = Z\Theta$.

describatur igitur circum ΘH circulus $H\Theta N$ ad triangulum ΘHZ perpendicularis, et fingatur conus, cuius basis sit $H\Theta N$ circulus, uertex autem Z punctum; conus igitur rectus erit, quia $HZ = Z\Theta$ [def. 3]. et quoniam circulus $H\Theta N$ ad planum ΘHZ perpendicularis est, uerum etiam planum subiacens ad planum rectarum $H\Theta$, ΘZ perpendiculare est, etiam communis eorum sectio ad planum rectarum $H\Theta$, ΘZ perpendicularis erit [Eucl. XI, 19]. KM igitur communis eorum sectio sit. itaque KM ad utramque AK, KH perpendicularis est [Eucl. XI def. 3]. et quoniam conus, cuius basis est $H\Theta N$ circulus, uertex autem Z punctum, plano per axem sectus est, quod sectionem efficit triangulum $H\Theta Z$, uerum etiam alio plano rectarum AK, KM, quod est planum subiacens, sectus est secundum rectam KM ad HK perpendicularem, et hoc planum cum ZH, $Z\Theta$ lateribus coni concurrit, sectio orta ellipsis est, cuius diametrus est AB, ordinate ductae autem in recto angulo ducentur ἐστιν ἡ *ΑΒ*, αἱ δὲ καταγόμεναι καταχθήσονται ἐν ὀρθῇ γωνίᾳ· παράλληλοι γάρ εἰσι τῇ *ΚΜ*. καὶ ἐπεί ἐστιν, ὡς ἡ *ΔΕ* πρὸς *ΕΖ*, τὸ ὑπὸ *ΔΕΖ*, τουτέστι τὸ ὑπὸ *ΒΕΑ*, πρὸς τὸ ἀπὸ *ΕΖ*, τὸ δὲ ὑπὸ *ΒΕΑ* πρὸς τὸ ἀπὸ *ΕΖ* τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς *ΒΕ* πρὸς *ΕΖ* καὶ τοῦ τῆς *ΑΕ* πρὸς *ΕΖ*, ἀλλ' ὡς μὲν ἡ *ΒΕ* πρὸς *ΕΖ*, ἡ *ΒΚ* πρὸς *ΚΘ*, ὡς δὲ ἡ *ΑΕ* πρὸς *ΕΖ*, ἡ *ΑΚ* πρὸς *ΚΗ*, τουτέστιν ἡ *ΖΑ* πρὸς *ΑΗ*, ἡ *ΒΑ* ἄρα πρὸς *ΑΓ* τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς *ΖΑ* πρὸς *ΑΗ* καὶ τοῦ τῆς *ΖΑ* προς *ΑΘ*, ὅς ἐστιν ὁ αὐτὸς τῷ ὃν ἔχει τὸ ἀπὸ *ΖΑ* πρὸς τὸ ὑπὸ *ΗΑΘ*· ὡς ἄρα ἡ *ΒΑ* πρὸς *ΑΓ*, τὸ ἀπὸ *ΖΑ* πρὸς τὸ ὑπὸ *ΗΑΘ*. ὅταν δὲ τοῦτο ᾖ, ὀρθία τοῦ εἴδους πλευρά ἐστιν ἡ *ΑΓ*, ὡς δέδεικται ἐν τῷ ιγ' θεωρήματι.

νζ'.

Τῶν αὐτῶν ὑποκειμένων ἔστω ἡ *ΑΒ* ἐλάσσων τῆς *ΑΓ*, καὶ δέον ἔστω περὶ διάμετρον τὴν *ΑΒ* γράψαι ἔλλειψιν, ὥστε ὀρθίαν εἶναι τὴν *ΑΓ*.

τετμήσθω ἡ *ΑΒ* δίχα κατὰ τὸ *Δ*, καὶ ἀπὸ τοῦ *Δ* τῇ *ΑΒ* πρὸς ὀρθὰς ἤχθω ἡ *ΕΔΖ*, καὶ τῷ ὑπὸ *ΒΑΓ* ἴσον ἔστω τὸ ἀπὸ *ΖΕ*, ὥστε ἴσην εἶναι τὴν *ΖΔ* τῇ *ΔΕ*, καὶ τῇ *ΑΒ* παράλληλος ἤχθω ἡ *ΖΗ*, καὶ πεποιήσθω, ὡς ἡ *ΑΓ* πρὸς *ΑΒ*, ἡ *ΕΖ* πρὸς *ΖΗ*· μείζων ἄρα καὶ ἡ *ΕΖ* τῆς *ΖΗ*. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ὑπὸ *ΓΑΒ* τῷ ἀπὸ *ΕΖ*, ἔστιν ὡς ἡ *ΓΑ* πρὸς *ΑΒ*, τὸ ἀπὸ *ΖΕ* πρὸς τὸ ἀπὸ *ΑΒ* καὶ τὸ ἀπὸ *ΔΖ* πρὸς

---

7. Post *ΚΘ* add. τουτέστιν ἡ *ΖΑ* πρὸς *ΑΘ* Halley praeeunte Memo. 14. τῷ ιγ'] τ͂ῶ Γ̄ V; corr. p. 16. νζ'] p, Eutocius; om. V. 18. περί] pc; ἐπί V? 24. πεποιείσθω V; corr. p. 26. ἀπό] pc, πό post ras. 1 litt. V.

:op. XIII]; sunt enim rectae KM parallelae. et oniam est

$$\Delta E : EZ = \Delta E \times EZ : EZ^2 = BE \times EA : EZ^2$$

:fr. Eucl. III, 36], et

$$BE \times EA : EZ^2 = (BE : EZ) \times (AE : EZ),$$

st autem $BE : EZ = BK : K\Theta$,

$$AE : EZ = AK : KH = Z\Lambda : \Lambda H$$ [Eucl. VI, 4],

erit $BA : A\Gamma = (Z\Lambda : \Lambda H) \times (Z\Lambda : \Lambda\Theta)$ [ibid.]. et $(Z\Lambda : \Lambda H) \times (Z\Lambda : \Lambda\Theta) = Z\Lambda^2 : H\Lambda \times \Lambda\Theta$. quare $BA : A\Gamma = Z\Lambda^2 : H\Lambda \times \Lambda\Theta$. sin hoc est, $A\Gamma$ latus rectum est sectionis, ut in propositione XIII demonstratum est.

LVII.

Iisdem suppositis sit $AB < A\Gamma$, et oporteat circum AB diametrum ellipsim describere, ita ut $A\Gamma$ latus rectum sit.



AB in Δ in duas partes aequales secetur, et a Δ ad AB perpendicularis ducatur $E\Delta Z$, et sit

$$ZE^2 = BA \times A\Gamma,$$

ita ut sit $Z\Delta = \Delta E$, rectae autem AB parallela ducatur ZH, et fiat

$$A\Gamma : AB = EZ : ZH;$$

itaque $EZ > ZH$ [Eucl. V, 14]. et quoniam est $\Gamma A \times AB = EZ^2$, erit

$$\Gamma A : AB = ZE^2 : AB^2$$ [Eucl. VI, 17; V def. 9]

$$= \Delta Z^2 : \Delta A^2$$ [Eucl. V, 15].

est autem $\Gamma A : AB = EZ : ZH$. quare etiam

Figuram bis V.

τὸ ἀπὸ ΔΑ. ὡς δὲ ἡ ΓΑ πρὸς ΑΒ, ἡ ΕΖ πρὸς ΖΗ· ὡς ἄρα ἡ ΕΖ πρὸς ΖΗ, τὸ ἀπὸ ΖΔ πρὸς τὸ ἀπὸ ΔΑ. τὸ δὲ ἀπὸ ΖΔ ἴσον ἐστὶ τῷ ὑπὸ ΖΔΕ· ὡς ἄρα ἡ ΕΖ πρὸς ΖΗ, τὸ ὑπὸ ΕΔΖ πρὸς τὸ ἀπὸ ΑΔ. δύο οὖν εὐθειῶν πεπερασμένων πρὸς ὀρθὰς ἀλλήλαις κειμένων καὶ μείζονος οὔσης τῆς ΕΖ γεγράφθω ἔλλειψις, ἧς διάμετρος μὲν ἡ ΕΖ, ὀρθία δὲ ἡ ΖΗ· ἥξει δὴ ἡ τομὴ διὰ τοῦ Α διὰ τὸ εἶναι ὡς τὸ ὑπὸ ΖΔΕ πρὸς τὸ ἀπὸ ΔΑ, ἡ ΕΖ πρὸς ΖΗ. καί ἐστιν ἴση ἡ ΑΔ τῇ ΔΒ· ἐλεύσεται οὖν καὶ διὰ τοῦ Β. γέγραπται οὖν ἔλλειψις περὶ τὴν ΑΒ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΓΑ πρὸς ΑΒ, τὸ ἀπὸ ΖΔ πρὸς τὸ ἀπὸ ΔΑ, το δὲ ἀπο ΔΑ ἴσον τῷ ὑπὸ ΑΔΒ, ὡς ἄρα ἡ ΓΑ πρὸς ΑΒ, τὸ ἀπὸ ΔΖ πρὸς τὸ ὑπὸ ΑΔΒ. ὥστε ὀρθία ἐστὶν ἡ ΑΓ.

νη'.

Ἀλλὰ δὴ μὴ ἔστω ἡ δοθεῖσα γωνία ὀρθή, καὶ ἔστω αὐτῇ ἴση ἡ ὑπὸ ΒΑΔ, καὶ τετμήσθω ἡ ΑΒ δίχα κατὰ τὸ Ε, καὶ ἐπὶ τῆς ΑΕ γεγράφθω ἡμικύκλιον τὸ ΑΖΕ, καὶ ἐν αὐτῷ τῇ ΑΔ παράλληλος ἤχθω ἡ ΖΗ ποιοῦσα τὸν τοῦ ἀπὸ ΖΗ πρὸς τὸ ὑπὸ ΑΗΕ λόγον τὸν αὐτὸν τῷ τῆς ΓΑ πρὸς τὴν ΑΒ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ, ΕΖ καὶ ἐκβεβλήσθωσαν, καὶ εἰλήφθω τῶν ΔΕΖ μέση ἀνάλογον ἡ ΕΘ, καὶ τῇ ΕΘ ἴση κείσθω ἡ ΕΚ, καὶ πεποιήσθω τῷ ἀπὸ ΑΖ ἴσον τὸ ὑπὸ ΘΖΛ, καὶ ἐπεζεύχθω ἡ ΚΛ, καὶ ἀπὸ τοῦ Θ τῇ ΘΖ πρὸς ὀρθὰς ἤχθω ἡ ΘΜΞ παράλληλος γινομένη τῇ ΑΖΛ· ὀρθὴ γὰρ ἡ πρὸς τῷ Ζ. καὶ δύο δοθεισῶν εὐθειῶν πεπερασμένων πρὸς ὀρθὰς ἀλλήλαις τῶν

9. ἡ] (pr.) debuit τήν. 16. νη'] p, Eutocius; om. V. 27. ΘΜΞ] fort. ΘΜ; μ̄ϑ, ϑ e corr., p.

$EZ : ZH = Z\varDelta^2 : \varDelta A^2$. est autem $Z\varDelta^2 = Z\varDelta \times \varDelta E$; itaque $EZ : ZH = E\varDelta \times \varDelta Z : A\varDelta^2$. duabus igitur rectis terminatis inter se perpendicularibus positis, quarum maior est EZ, describatur ellipsis, cuius diametrus sit EZ, latus rectum autem ZH [prop. LVI]; sectio igitur per A ueniet, quia est

$$Z\varDelta \times \varDelta E : \varDelta A^2 = EZ : ZH \text{ [prop. XXI]}.$$

et $A\varDelta = \varDelta B$; quare etiam per B ueniet [ibid.]. itaque circum AB ellipsis descripta est. et quoniam est $\Gamma A : AB = Z\varDelta^2 : \varDelta A^2$, et $\varDelta A^2 = A\varDelta \times \varDelta B$, erit $\Gamma A : AB = \varDelta Z^2 : A\varDelta \times \varDelta B$. ergo $A\Gamma$ latus rectum est [prop. XXI].

LVIII.

Iam uero datus angulus rectus ne sit, eique aequalis sit $\angle BA\varDelta$, et AB in E in duas partes aequales secetur, in AE autem semicirculus describatur AZE, et in eo rectae $A\varDelta$ parallela ducatur ZH, quae efficiat $ZH^2 : AH \times HE = \Gamma A : AB$, et ducantur AZ, EZ producanturque, et inter $\varDelta E$, EZ media proportionalis sit $E\Theta$, ponaturque $EK = E\Theta$, et fiat $\Theta Z \times Z\Lambda = AZ^2$,



ducaturque $K\Lambda$, a Θ autem ad rectam ΘZ perpendicularis ducatur $\Theta M\Xi$, quae rectae $AZ\Lambda$ parallela fit [Eucl. I, 28]; nam angulus ad Z positus rectus est [Eucl. III, 31]. et datis duabus rectis terminatis inter se perpendicularibus $K\Theta$, ΘM describatur ellipsis,

$K\Theta$, ΘM γεγράφθω ἔλλειψις, ἧς διάμετρος πλαγία ἡ $K\Theta$, ὀρθία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘM, αἱ δὲ καταγόμεναι ἐπὶ τὴν ΘK ἐν ὀρθῇ γωνίᾳ καταχθήσονται· ἥξει δὴ ἡ τομὴ διὰ τοῦ A διὰ τὸ ἴσον εἶναι τὸ ἀπὸ ZA τῷ ὑπὸ ΘZA. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΘE τῇ EK, ἡ δὲ AE τῇ EB, ἥξει καὶ διὰ τοῦ B ἡ τομή, καὶ ἔσται κέντρον μὲν τὸ E, διάμετρος δὲ ἡ AEB. καὶ ἐφάψεται τῆς τομῆς ἡ ΔA διὰ τὸ ἴσον εἶναι τὸ ὑπὸ ΔEZ τῷ ἀπὸ $E\Theta$. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΓA πρὸς AB, τὸ ἀπὸ ZH πρὸς τὸ ὑπὸ AHE, ἀλλ' ἡ μὲν ΓA πρὸς AB τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς ΓA πρὸς τὴν διπλασίαν τῆς ΔA καὶ τοῦ τῆς διπλασίας τῆς $A\Delta$ πρὸς τὴν AB, τουτέστι τῆς ΔA πρὸς AE, τὸ δὲ ἀπὸ ZH πρὸς τὸ ὑπὸ AHE τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς ZH πρὸς HE καὶ τοῦ τῆς ZH πρὸς HA, ὁ ἄρα συγκείμενος λόγος ἐκ τοῦ τῆς ΓA πρὸς τὴν διπλασίαν τῆς $A\Delta$ καὶ τοῦ τῆς ΔA πρὸς AE ὁ αὐτός ἐστι τῷ συγκειμένῳ ἐκ τοῦ τῆς ZH πρὸς HE καὶ τοῦ τῆς ZH πρὸς HA. ἀλλ' ὡς ἡ ΔA πρὸς AE, ἡ ZH πρὸς HE· καὶ κοινοῦ ἀφαιρεθέντος τούτου τοῦ λόγου ἔσται ὡς ἡ ΓA πρὸς τὴν διπλασίαν τῆς $A\Delta$, ἡ ZH πρὸς HA, τουτέστιν ἡ ΞA πρὸς AN. ὅταν δὲ τοῦτο ᾖ, ὀρθία τοῦ εἴδους πλευρά ἐστιν ἡ $A\Gamma$.

νθ'.

Δύο δοθεισῶν εὐθειῶν πρὸς ὀρθὰς ἀλλήλαις πεπερασμένων εὑρεῖν ἀντικειμένας, ὧν διάμετρός ἐστι μία τῶν δοθεισῶν εὐθειῶν, κορυφὴ δὲ τὰ πέρατα τῆς εὐθείας, αἱ δὲ καταγόμεναι ἐν ἑκατέρᾳ τῶν τομῶν ἐν

18. ZH] pc, Z e corr. m. 1 V. 20. καὶ κοινοῦ] p, κοινοῦ V, κοινοῦ ἄρα Comm. 24. νθ'] p, Eutocius; om. V. 27. κορυφαί p.

ita ut diametrus transuersa sit $K\Theta$, latus autem rectum figurae ΘM, et rectae ad ΘK ordinate ductae in angulo recto ducantur [prop. LVI—LVII]. sectio igitur per A ueniet, quia $ZA^2 = \Theta Z \times Z\varDelta$ [prop. XIII]. et quoniam est $\Theta E = EK$, $AE = EB$, sectio etiam per B ueniet, et E centrum erit, diametrus autem AEB [prop. LI coroll.]. et $\varDelta A$ sectionem continget [prop. XXXVIII], quia $\varDelta E \times EZ = E\Theta^2$. et quoniam est

$$\Gamma A : AB = ZH^2 : AH \times HE,$$

est autem

$$\Gamma A : AB = (\Gamma A : 2A\varDelta) \times (2A\varDelta : AB)$$
$$= (\Gamma A : 2\varDelta A) \times (\varDelta A : AE),$$

et

$$ZH^2 : AH \times HE = (ZH : HE) \times (ZH : HA),$$

erit

$$(\Gamma A : 2A\varDelta) \times (\varDelta A : AE) = (ZH : HE) \times (ZH : HA).$$

uerum

$$\varDelta A : AE = ZH : HE \text{ [Eucl. VI, 4].}$$

hac igitur ratione, quae communis est, ablata erit

$$\Gamma A : 2A\varDelta = ZH : HA = \Xi A : AN \text{ [Eucl. VI, 4].}$$

sin hoc est, latus rectum figurae est $A\Gamma$ [prop. L].

LIX.

Datis duabus rectis terminatis inter se perpendicularibus oppositas inuenire, ita ut earum diametrus sit alterutra datarum rectarum, uertex autem termini rectae, et rectae in alterutra sectionum in angulo dato ductae quadratae aequales sint spatiis alteri adplicatis et τῇ δοθείσῃ γωνίᾳ δυνήσονται τὰ παρὰ τὴν ἑτέραν παρακείμενα καὶ ὑπερβάλλοντα ὁμοίῳ τῷ ὑπὸ τῶν δοθεισῶν εὐθειῶν περιεχομένῳ.

ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι πρὸς ὀρθὰς ἀλλήλαις πεπερασμέναι αἱ BE, $B\Theta$, ἡ δὲ δοθεῖσα γωνία ἔστω ἡ H· δεῖ δὴ γράψαι ἀντικειμένας περὶ μίαν τῶν BE, $B\Theta$, ὥστε τὰς καταγομένας κατάγεσθαι ἐν γωνίᾳ τῇ H.

καὶ δύο δοθεισῶν εὐθειῶν τῶν BE, $B\Theta$ γεγράφθω ὑπερβολή, ἧς διάμετρος ἔσται πλαγία ἡ BE, ὀρθία δὲ τοῦ εἴδους πλευρὰ ἡ ΘB, αἱ δὲ καταγόμεναι ἐπὶ τὴν ἐπ' εὐθείας τῇ BE καταχθήσονται ἐν γωνίᾳ τῇ H, καὶ ἔστω ἡ $AB\Gamma$· τοῦτο γὰρ ὡς δεῖ γενέσθαι, προγέγραπται. ἤχθω δὴ διὰ τοῦ E τῇ BE πρὸς ὀρθὰς ἡ EK ἴση οὖσα τῇ $B\Theta$, καὶ γεγράφθω ὁμοίως ἄλλη ὑπερβολὴ ἡ ΔEZ, ἧς διάμετρος μὲν ἡ BE, ὀρθία δὲ τοῦ εἴδους πλευρὰ ἡ EK, αἱ δὲ καταγόμεναι ἀπὸ τῆς τομῆς τεταγμένως καταχθήσονται ἐν τῇ ἐφεξῆς γωνίᾳ τῇ H. φανερὸν δή, ὅτι αἱ B, E εἰσιν ἀντικείμεναι, διάμετρος δὲ αὐτῶν μία ἐστί, καὶ αἱ ὀρθίαι ἴσαι.

ξ'.

Δύο δοθεισῶν εὐθειῶν δίχα τεμνουσῶν ἀλλήλας γράψαι περὶ ἑκατέραν αὐτῶν ἀντικειμένας τομάς, ὥστε εἶναι αὐτῶν συζυγεῖς διαμέτρους τὰς εὐθείας, καὶ τὴν τῶν δύο ἀντικειμένων διάμετρον τὸ τῶν ἑτέρων ἀντι-

6. δή] c, δή uel δέ corr. ex δεῖ p („utique" Comm.), δεῖ V; om. Halley cum Memo. 18. ἐφεξῆς] male del. Halley. 19. δή] corr. ex δέ m. 1 V. 20. αἱ ὀρθίαι] scripsi; διορθιαι (sic) V; ὀρθίαι p et post lacunam c, Halley. 21. ξ'] p, Eutocius; om. V.

figura excedentibus simili rectangulo datis rectis comprehenso.

sint datae duae rectae terminatae inter se perpendiculares BE, $B\Theta$, datus autem angulus sit H. oportet igitur circum alterutram rectarum BE, $B\Theta$ oppositas describere, ita ut rectae ordinatae in angulo H ducantur.

et datis duabus rectis BE, $B\Theta$ describatur hyperbola, ita ut diametrus transuersa sit BE, latus autem rectum figurae ΘB, et rectae ad BE productam ordinate ductae in angulo H ducantur; quo modo enim hoc fieri possit, antea expositum est [prop. LV]. ducatur igitur per E ad BE perpendicularis EK, quae aequalis sit rectae $B\Theta$, et eodem modo alia hyperbola describatur ΔEZ, ita ut diametrus sit BE, latus autem rectum figurae EK, et rectae a sectione ordinate ductae in angulo ducantur, qui angulo H deinceps positus est [prop. LV]. manifestum est igitur, sectiones B, E oppositas esse et unam eandemque diametrum habere, lateraque recta aequalia esse.



LX.

Datis duabus rectis inter se in binas partes aequales secantibus circum utramque sectiones oppositas describere, ita ut diametri earum coniugatae sint rectae datae, et diametrus duarum oppositarum quadrata aequalis sit figurae alterarum oppositarum, similiter-κειμένων δύνασθαι εἶδος, ὁμοίως δὲ καὶ τὴν τῶν ι ρων ἀντικειμένων διάμετρον τὸ τῶν ἑτέρων ἀι κειμένων δύνασθαι εἶδος.

ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι δίχα τέμνου ἀλλήλας αἱ ΑΓ, ΔΕ· δεῖ δὴ περὶ ἑκατέραν αὐτῶν δ μετρον γράψαι ἀντικειμένας, ἵνα ὦσιν αἱ ΑΓ, ⁄ συζυγεῖς ἐν αὐταῖς, καὶ η μὲν ΔΕ τὸ τῶν περὶ τ ΑΓ εἶδος δύνηται, ἡ δὲ ΑΓ τὸ τῶν περὶ τὴν Δ

ἔστω τῷ ἀπὸ ΔΕ ἴσον τὸ ὑπὸ ΑΓΑ, πρὸς ὀρθὰς ἔστω ἡ ΑΓ τῇ ΓΑ. καὶ δύο δοθεισῶν εὐθειῶν πι ὀρθὰς ἀλλήλαις τῶν ΑΓ, ΓΑ γεγράφθωσαν ἀντικείμε αἱ ΖΑΗ, ΘΓΚ, ὧν διάμετρος μὲν ἔσται πλαγία ἡ 1 ὀρθία δὲ ἡ ΓΑ, αἱ δὲ καταγόμεναι ἀπὸ τῶν τομ ἐπὶ τὴν ΓΑ καταχθήσονται ἐν τῇ γωνίᾳ τῇ δοθει ἔσται δὴ ἡ ΔΕ δευτέρα διάμετρος τῶν ἀντικειμέν μέσον τε γὰρ λόγον ἔχει τῶν τοῦ εἴδους πλευρῶν παρὰ τεταγμένως κατηγμένην οὖσα δίχα τέτμηται κ τὸ Β. ἔστω δὴ πάλιν τῷ ἀπὸ ΑΓ ἴσον τὸ ὑπὸ ΔΕ, ⁄ πρὸς ὀρθὰς δὲ ἔστω ἡ ΔΖ τῇ ΔΕ. καὶ δύο δοθεισ εὐθειῶν πρὸς ὀρθὰς ἀλλήλαις κειμένων τῶν ΕΔ, ⁄ γεγράφθωσαν ἀντικείμεναι αἱ ΜΔΝ, ΟΕΞ, ὧν δ μετρος μὲν πλαγία ἡ ΔΕ, ὀρθία δὲ τοῦ εἴδους πλευ ἡ ΔΖ, αἱ δὲ καταγόμεναι ἀπὸ τῶν τομῶν καταχ σονται ἐπὶ τὴν ΔΕ ἐν τῇ δοθείσῃ γωνίᾳ· ἔσται καὶ τῶν ΜΔΝ, ΞΕΟ δευτέρα διάμετρος ἡ ΑΓ. ὥ

6. ΑΓ] ΑΒ V; corr. p. 10. ΑΓ] ΑΓ V; corr. Memus („g. 12. ΓΑ] ΓΔ V; corr. p. 15. δή] Halley, δέ V p c. 17. πα τεταγμένως, litt. ς euan., V. κατηγμένην] scripsi; κατηγμένη 18. ΔΖ] ΔΡ Halley cum Comm. 19. ΔΖ] ΔΡ Halley cu Comm. 20. ΔΖ] ΔΡ Halley cum Comm. 21. ΜΔΝ, ΟΕ, ΜΔ, ΝΟΞ V; corr. p. 23. ΔΖ] ΔΡ Halley cum Comm. (etia in figura litteram Z bis habet V). 25. καί] καὶ περί V; corr. fort. scr. καὶ ἐπί.

que etiam diametrus alterarum oppositarum quadrata aequalis sit figurae alterarum oppositarum.

sint datae duae rectae inter se in binas partes aequales secantes $A\Gamma$, ΔE. oportet igitur circum utramque diametrum oppositas describere, ita ut $A\Gamma$, ΔE in iis coniugatae sint, et ΔE^2 aequalis sit figurae oppositarum circum $A\Gamma$ descriptarum, $A\Gamma^2$ autem figurae oppositarum circum ΔE.

sit $A\Gamma \times \Gamma\Lambda = \Delta E^2$, et $A\Gamma$ ad $\Gamma\Lambda$ perpendicularis sit. et datis duabus rectis inter se perpendicularibus $A\Gamma$, $\Gamma\Lambda$ describantur oppositae ZAH, $\Theta\Gamma K$, ita ut diametrus sit transuersa ΓA, latus autem rectum $\Gamma\Lambda$, et rectae a sectionibus ad ΓA ordinate ductae in dato angulo ducantur [prop. LIX]. erit igitur ΔE altera diametrus oppositarum [deff. alt. 3]; nam et mediam habet rationem inter latera figurae



[Eucl. VI, 17] et rectae ordinate ductae parallela in B in duas partes aequales secta est. rursus igitur sit $\Delta E \times \Delta Z = A\Gamma^2$, et ΔZ ad ΔE perpendicularis sit. et datis duabus rectis inter se perpendicularibus positis $E\Delta$, ΔZ oppositae describantur $M\Delta N$, $OE\Xi$, ita ut diametrus transuersa sit ΔE, latus autem rectum figurae ΔZ, et rectae a sectionibus ordinate *ἡ μὲν ΑΓ τὰς τῇ ΔΕ παραλλήλους μεταξὺ τῶν ΖΑΗ, ΘΓΚ τομῶν δίχα τέμνει, ἡ δὲ ΔΕ τὰς τῇ ΑΓ ὅπερ ἔδει ποιῆσαι.*

καλείσθωσαν δὲ αὗται αἱ τομαὶ συζυγεῖς.

In fine: *Ἀπολλωνίου κωνικῶν* $\bar{\alpha}^{ov}$ m. 2 V.

ductae ad $\varDelta E$ in dato angulo ducantur [prop. LIX]; erit igitur etiam $A\Gamma$ altera diametrus sectionum $M\varDelta N$, ΞEO [deff. alt. 3]. ergo $A\Gamma$ rectas rectae $\varDelta E$ parallelas inter sectiones ZAH, $\Theta\Gamma K$ positas in binas partes aequales secat, $\varDelta E$ autem rectas rectae $A\Gamma$ parallelas [prop. XVI]; quod oportebat fieri [cfr. def. 6].

tales autem sectiones coniugatae uocentur.

ΚΩΝΙΚΩΝ β'.

Ἀπολλώνιος Εὐδήμῳ χαίρειν.

Εἰ ὑγιαίνεις, ἔχοι ἂν καλῶς· καὶ αὐτὸς δὲ μετρίως ἔχω.

Ἀπολλώνιον τὸν υἱόν μου πέπομφα πρός σε κομίζοντά σοι τὸ β' βιβλίον τῶν συντεταγμένων ἡμῖν κωνικῶν. δίελθε οὖν αὐτὸ ἐπιμελῶς καὶ τοῖς ἀξίοις τῶν τοιούτων κοινωνεῖν μεταδίδου· καὶ Φιλωνίδης δὲ ὁ γεωμέτρης, ὃν καὶ συνέστησά σοι ἐν Ἐφέσῳ, ἐάν ποτε ἐπιβαλῇ εἰς τοὺς κατὰ Πέργαμον τόπους, μετάδὸς αὐτῷ, καὶ σεαυτοῦ ἐπιμελοῦ, ἵνα ὑγιαίνῃς. εὐτύχει.

α'.

Ἐὰν ὑπερβολῆς κατὰ κορυφὴν εὐθεῖα ἐφάπτηται, καὶ ἀπ' αὐτῆς ἐφ' ἑκάτερα τῆς διαμέτρου ἀποληφθῇ ἴση τῇ δυναμένῃ τὸ τέταρτον τοῦ εἴδους, αἱ ἀπὸ τοῦ κέντρου τῆς τομῆς ἐπὶ τὰ ληφθέντα πέρατα τῆς ἐφαπτομένης ἀγόμεναι εὐθεῖαι οὐ συμπεσοῦνται τῇ τομῇ.

ἔστω ὑπερβολή, ἧς διάμετρος ἡ AB, *κέντρον δὲ τὸ* Γ, *ὀρθία δὲ ἡ* BZ, *καὶ ἐφαπτέσθω τῆς τομῆς κατὰ τὸ* B *ἡ* ΔE, *καὶ τῷ τετάρτῳ τοῦ ὑπὸ τῶν* ABZ *εἴδους ἴσον ἔστω τὸ ἀφ' ἑκατέρας τῶν* $B\Delta$, BE, *καὶ ἐπι-*

Ἀπολλωνίου κωνικῶν $\overline{\beta}^{ον}$ (β m. 2) V, et v (β corr. ex α m. 2). 3. *ὑγιαίνοις* p. 12. α'] vp, om. V, ut deinceps.

CONICORUM LIBER II.

Apollonius Eudemo s.

Si uales, bene est; equidem satis ualeo.

Apollonium filium ad te misi secundum librum conicorum a me conscriptorum perlaturum. eum igitur diligenter peruolue et cum iis communica, qui talibus rebus digni sunt. et cum Philonide quoque geometra, quem tibi Ephesi commendaui, si quando ad uiciniam Pergami uenerit, eum communica, atque cura, ut ualeas. uale.

I.

Si recta hyperbolam in uertice contingit, et ex ea in utramque partem diametri recta aufertur aequalis



rectae, quae quadrata quartae parti figurae aequalis est, rectae a centro sectionis ad terminos sumptos contingentis ductae cum sectione non concurrent.

ζευχθεῖσαι αἱ ΓΔ, ΓΕ ἐκβεβλήσθωσαν. λέγω, ὅτι οὐ συμπεσοῦνται τῇ τομῇ.

εἰ γὰρ δυνατόν, συμπιπτέτω ἡ ΓΔ τῇ τομῇ κατὰ τὸ Η, καὶ ἀπὸ τοῦ Η τεταγμένως κατήχθω ἡ ΗΘ· παράλληλος ἄρα ἐστὶ τῇ ΔΒ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΑΒ πρὸς ΒΖ, τὸ ἀπὸ ΑΒ πρὸς τὸ ὑπὸ ΑΒΖ, ἀλλὰ τοῦ μὲν ἀπο ΑΒ τέταρτον μέρος τὸ ἀπὸ ΓΒ, τοῦ δὲ ὑπὸ ΑΒΖ τέταρτον τὸ ἀπὸ ΒΔ, ὡς ἄρα ἡ ΑΒ πρὸς ΒΖ, τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΔΒ, τουτέστι τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΘΗ. ἔστι δὲ καὶ ὡς ἡ ΑΒ πρὸς ΒΖ, τὸ ὑπὸ ΑΘΒ πρὸς τὸ ἀπὸ ΘΗ· ὡς ἄρα τὸ ἀπὸ ΓΘ πρὸς τὸ ἀπὸ ΘΗ, τὸ ὑπὸ ΑΘΒ πρὸς τὸ ἀπὸ ΘΗ. ἴσον ἄρα τὸ ὑπὸ ΑΘΒ τῷ ἀπὸ ΓΘ· ὅπερ ἄτοπον. οὐκ ἄρα ἡ ΓΔ συμπεσεῖται τῇ τομῇ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἡ ΓΕ· ἀσύμπτωτοι ἄρα εἰσὶ τῇ τομῇ αἱ ΓΔ, ΓΕ.

β'.

Τῶν αὐτῶν ὄντων δεικτέον, ὅτι ἑτέρα ἀσύμπτωτος οὐκ ἔστι τέμνουσα τὴν περιεχομένην γωνίαν ὑπὸ τῶν ΔΓΕ.

εἰ γὰρ δυνατόν, ἔστω ἡ ΓΘ, καὶ διὰ τοῦ Β τῇ ΓΔ παράλληλος ἤχθω ἡ ΒΘ καὶ συμπιπτέτω τῇ ΓΘ κατὰ τὸ Θ, καὶ τῇ ΒΘ ἴση κείσθω ἡ ΔΗ, καὶ ἐπιζευχθεῖσα ἡ ΗΘ ἐκβεβλήσθω ἐπὶ τὰ Κ, Λ, Μ. ἐπεὶ οὖν αἱ ΒΘ, ΔΗ ἴσαι εἰσὶ καὶ παράλληλοι, καὶ αἱ ΔΒ, ΗΘ ἴσαι εἰσὶ καὶ παράλληλοι. καὶ ἐπεὶ ἡ ΑΒ δίχα τέμνεται κατὰ τὸ Γ, καὶ πρόσκειται αὐτῇ τις ἡ ΒΛ, τὸ ὑπὸ ΑΛΒ μετὰ τοῦ ἀπὸ ΓΒ ἴσον ἐστὶ τῷ

4. τοῦ] p, τῆς V. 5. ἡ] p, om. V. 10. ΘΗ] c, e corr. m. 1 V. 11. ΑΘΒ] ΑΒΘ V; ΑΘ, ΘΒ p.

sit hyperbola, cuius diametrus sit AB, centrum autem Γ, latus rectum autem BZ, et ΔE sectionem in B contingat, sit autem

$$B\Delta^2 = BE^2 = \tfrac{1}{4} AB \times BZ,$$

et ductae $\Gamma\Delta$, ΓE producantur. dico, eas cum sectione non concurrere.

nam si fieri potest, $\Gamma\Delta$ cum sectione in H concurrat, et ab H ordinate ducatur $H\Theta$; erit igitur rectae ΔB parallela [cfr. I, 17]. quoniam igitur est $AB : BZ = AB^2 : AB \times BZ$, et $\Gamma B^2 = \frac{1}{4} AB^2$,

$$B\Delta^2 = \tfrac{1}{4} AB \times BZ,$$

erit $AB : BZ = \Gamma B^2 : \Delta B^2 = \Gamma\Theta^2 : \Theta H^2$ [Eucl. VI, 4]. est autem etiam $AB : BZ = A\Theta \times \Theta B : \Theta H^2$ [I, 21]. itaque $\Gamma\Theta^2 : \Theta H^2 = A\Theta \times \Theta B : \Theta H^2$. quare

$$A\Theta \times \Theta B = \Gamma\Theta^2 \text{ [Eucl. V, 9];}$$

quod absurdum est [Eucl. II, 6]. ergo $\Gamma\Delta$ cum sectione non concurret. iam similiter demonstrabimus, ne ΓE quidem concurrere. ergo $\Gamma\Delta$, ΓE asymptotae sectionis sunt.

II.

Iisdem positis demonstrandum, aliam asymptotam non esse secantem angulum rectis $\Delta\Gamma$, ΓE comprehensum.

nam si fieri potest, sit $\Gamma\Theta$, et per B rectae $\Gamma\Delta$ parallela ducatur $B\Theta$ et cum $\Gamma\Theta$ in Θ concurrat, ponaturque $\Delta H = B\Theta$, et ducta $H\Theta$ ad K, Λ, M producatur. iam quoniam $B\Theta$, ΔH aequales sunt et parallelae, etiam ΔB, $H\Theta$ aequales sunt et parallelae [Eucl. I, 33]. et quoniam AB in Γ in duas partes

13*

ἀπὸ ΓΛ. ὁμοίως δὴ ἐπειδὴ παράλληλός ἐστιν ἡ ΗΜ τῇ ΔΕ, καὶ ἴση ἡ ΔΒ τῇ ΒΕ, ἴση ἄρα καὶ ἡ ΗΛ τῇ ΛΜ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΗΘ τῇ ΔΒ, μείζων ἄρα ἡ ΗΚ τῆς ΔΒ. ἔστι δὲ καὶ ἡ ΚΜ τῆς ΒΕ μείζων, ἐπεὶ καὶ ἡ ΛΜ· τὸ ἄρα ὑπὸ ΜΚΗ μεῖζόν ἐστι τοῦ ὑπὸ ΔΒΕ, τουτέστι τοῦ ἀπὸ ΔΒ. ἐπεὶ οὖν ἐστιν, ὡς ἡ ΑΒ πρὸς ΒΖ, τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΔ, ἀλλ' ὡς μὲν ἡ ΑΒ πρὸς ΒΖ, τὸ ὑπὸ ΑΛΒ πρὸς τὸ ἀπὸ ΛΚ, ὡς δὲ τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΒΔ, τὸ ἀπὸ ΓΛ πρὸς τὸ ἀπὸ ΛΗ, καὶ ὡς ἄρα τὸ ἀπὸ ΓΛ πρὸς τὸ ἀπὸ ΛΗ, τὸ ὑπὸ ΑΛΒ πρὸς τὸ ἀπὸ ΛΚ. ἐπεὶ οὖν ἐστιν, ὡς ὅλον τὸ ἀπὸ ΛΓ πρὸς ὅλον τὸ ἀπὸ ΛΗ, οὕτως ἀφαιρεθὲν τὸ ὑπὸ ΑΛΒ πρὸς ἀφαιρεθὲν τὸ ἀπὸ ΛΚ, καὶ λοιπὸν ἄρα τὸ ἀπὸ ΓΒ πρὸς λοιπὸν τὸ ὑπὸ ΜΚΗ ἐστιν, ὡς τὸ ἀπὸ ΓΛ πρὸς τὸ ἀπὸ ΛΗ, τουτέστι τὸ ἀπὸ ΓΒ πρὸς τὸ ἀπὸ ΔΒ. ἴσον ἄρα τὸ ἀπὸ ΔΒ τῷ ὑπὸ ΜΚΗ· ὅπερ ἄτοπον· μεῖζον γὰρ αὐτοῦ δέδεικται. οὐκ ἄρα ἡ ΓΘ ἀσύμπτωτός ἐστι τῇ τομῇ.

γ΄.

Ἐὰν ὑπερβολῆς εὐθεῖα ἐφάπτηται, συμπεσεῖται ἑκατέρᾳ τῶν ἀσυμπτώτων καὶ δίχα τμηθήσεται κατὰ τὴν ἁφήν, καὶ τὸ ἀφ' ἑκατέρας τῶν τμημάτων αὐτῆς τετράγωνον ἴσον ἔσται τῷ τετάρτῳ τοῦ γινομένου εἴδους πρὸς τῇ διὰ τῆς ἁφῆς ἀγομένῃ διαμέτρῳ.

ἔστω ὑπερβολὴ ἡ ΑΒΓ, κέντρον δὲ αὐτῆς τὸ Ε καὶ ἀσύμπτωτοι αἱ ΖΕ, ΕΗ, καὶ ἐφαπτέσθω τις αὐτῆς

---

9. Post pr. *ἀπό* ins. *ΛΗ καὶ ὡς ἄρα τὸ ἀπὸ ΓΛ πρὸς τὸ ἀπὸ ΛΗ τὸ ὑπὸ ΑΛΒ πρὸς τὸ ἀπό* V (ex lin. 10—11 petita). 15. *ΜΚΗ*] ante *Η* eras. 1 litt. V. *τό*] (pr.) *τ* supra scr. m. 1 V. 18. *ΓΘ*] p, *ΓΔ* V.

aequales secta est, eique adiecta est $B\Lambda$, erit

$$A\Lambda \times \Lambda B + \Gamma B^2 = \Gamma\Lambda^2 \text{ [Eucl. II, 6].}$$

iam eodem modo, quoniam HM rectae ΔE parallela est, et $\Delta B = BE$, erit etiam $H\Lambda = \Lambda M$ [Eucl. VI, 1].



et quoniam est $H\Theta = \Delta B$, erit $HK > \Delta B$. uerum etiam $KM > BE$, quoniam etiam $\Lambda M > BE$. itaque

$$MK \times KH > \Delta B \times BE,$$

h. e. $> \Delta B^2$. quoniam igitur $AB : BZ = \Gamma B^2 : B\Delta^2$ [prop. I], uerum [I, 21]

$$AB : BZ = A\Lambda \times \Lambda B : \Lambda K^2,$$

et [Eucl. VI, 4]

$$\Gamma B^2 : B\Delta^2 = \Gamma\Lambda^2 : \Lambda H^2,$$

erit etiam

$$\Gamma\Lambda^2 : \Lambda H^2 = A\Lambda \times \Lambda B : \Lambda K^2.$$

quoniam igitur est, ut totum $\Lambda\Gamma^2$ ad totum ΛH^2, ita ablatum $A\Lambda \times \Lambda B$ ad ablatum ΛK^2, erit etiam reliquum $\Gamma B^2 : MK \times KH$ [Eucl. II, 5] $= \Gamma\Lambda^2 : \Lambda H^2$ [Eucl. V, 19] $= \Gamma B^2 : \Delta B^2$. itaque $\Delta B^2 = MK \times KH$ [Eucl. V, 9]; quod absurdum est; demonstrauimus enim, esse $MK \times KH > \Delta B^2$. ergo $\Gamma\Theta$ asymptota sectionis non est.

III.

Si recta hyperbolam contingit, utrique asymptotae concurret et in puncto contactus in duas partes aequales secabitur, quadratumque utriusque partis eius aequale erit quartae parti figurae ad diametrum per punctum contactus ductam effectae.

κατὰ τὸ B ἡ ΘK. λέγω, ὅτι ἐκβαλλομένη ἡ ΘK συ πεσεῖται ταῖς ZE, EH.

εἰ γὰρ δυνατόν, μὴ συμπιπτέτω, καὶ ἐπιζευχθεῖ ἡ EB ἐκβεβλήσθω, καὶ κείσθω τῇ BE ἴση ἡ E. διάμετρος ἄρα ἐστὶν ἡ $B\Delta$. κείσθω δὴ τῷ τετάρτῳ τοῦ πρὸς τῇ $B\Delta$ εἴδους ἴσον τὸ ἀφ' ἑκατέρας τῶν ΘB, BK, καὶ ἐπεζεύχθωσαν αἱ $E\Theta$, EK. ἀσύμπτωτοι ἄρα εἰσίν· ὅπερ ἄτοπον· ὑπόκεινται γὰρ αἱ ZE, EH ἀσύμπτωτοι. ἡ ἄρα $K\Theta$ ἐκβαλλομένη συμπεσεῖται ταῖς EZ, EH ἀσυμπτ τοις κατὰ τὰ Z, H.



λέγω δή, ὅτι καὶ τὸ ἀφ' ἑκατέρας τῶν BZ, B ἴσον ἔσται τῷ τετάρτῳ τοῦ πρὸς τῇ $B\Delta$ εἴδους.

μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω τῷ τετάρτῳ τ εἴδους ἴσον τὸ ἀφ' ἑκατέρας τῶν $B\Theta$, BK. ἀσύμπτωτ ἄρα εἰσὶν αἱ ΘE, EK· ὅπερ ἄτοπον. τὸ ἄρα ἀφ ἑκατέρας τῶν ZB, BH ἴσον ἔσται τῷ τετάρτῳ το πρὸς τῇ $B\Delta$ εἴδους.

δ'.

Δύο δοθεισῶν εὐθειῶν γωνίαν περιεχουσῶν κα σημείου ἐντὸς τῆς γωνίας γράψαι διὰ τοῦ σημείο κώνου τομὴν τὴν καλουμένην ὑπερβολήν, ὥστε ἀσυμπτώτους αὐτῆς εἶναι τὰς δοθείσας εὐθείας.

1. ἡ] (pr.) ἤ V; corr. p. 18. ὅτι] p, om. V. 20. εἰ] p, ἤ V; corr. m. 2 v. 21. BK] p, ΘK V.

sit hyperbola $AB\Gamma$, centrum autem eius E et asymptotae ZE, EH, eamque contingat in B recta aliqua ΘK. dico, ΘK productam cum ZE, EH concurrere.

nam si fieri potest, ne concurrat, et ducta EB producatur, ponaturque $E\Delta = BE$; $B\Delta$ igitur diametrus est. ponatur igitur ΘB^2 et BK^2 quartae parti figurae ad $B\Delta$ effectae aequale, ducanturque $E\Theta$, EK. hae igitur asymptotae sunt [prop. I]; quod absurdum est [prop. II]; supposuimus enim, ZE, EH asymptotas esse. ergo $K\Theta$ producta cum asymptotis EZ, EH in Z, H concurret.

iam dico, esse etiam BZ^2 et BH^2 quartae parti figurae ad $B\Delta$ effectae aequalia.

ne sint enim, sed, si fieri potest, sit $B\Theta^2$ et BK^2 quartae parti figurae aequale. itaque ΘE, EK asymptotae sunt [prop. I]; quod absurdum est [prop. II]. ergo ZB^2 et BH^2 quartae parti figurae ad $B\Delta$ effectae aequalia sunt.

IV.

Datis duabus rectis angulum comprehendentibus punctoque intra angulum posito per punctum coni sectionem, hyperbola quae uocatur, ita describere, ut datae rectae asymptotae sint.

sint duae rectae $A\Gamma$, AB quemuis angulum comprehendentes ad A positum, datumque sit punctum aliquod Δ, et oporteat per Δ in asymptotis ΓAB hyperbolam describere.

ἔστωσαν δύο εὐθεῖαι αἱ ΑΓ, ΑΒ τυχοῦσαν γωνίαν περιέχουσαι τὴν πρὸς τῷ Α, καὶ δεδόσθω σημεῖόν τι τὸ Δ, καὶ δέον ἔστω διὰ τοῦ Δ τὰς ΓΑΒ γράψαι εἰς ἀσυμπτώτους ὑπερβολήν.

ἐπεζεύχθω ἡ ΑΔ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Ε, καὶ κείσθω τῇ ΔΑ ἴση ἡ ΑΕ, καὶ διὰ τοῦ Δ τῇ ΑΒ παράλληλος ἤχθω ἡ ΔΖ, καὶ κείσθω τῇ ΑΖ ἴση ἡ ΖΓ, καὶ ἐπιζευχθεῖσα ἡ ΓΔ ἐκβεβλήσθω ἐπὶ τὸ Β, καὶ τῷ ἀπὸ τῆς ΓΒ ἴσον γεγονέτω τὸ ὑπὸ ΔΕ, Η, καὶ ἐκβληθείσης τῆς ΑΔ γεγράφθω περὶ αὐτὴν διὰ τοῦ Δ ὑπερβολή, ὥστε τὰς καταγομένας δύνασθαι τὰ παρὰ τὴν Η ὑπερβάλλοντα εἴδει ὁμοίῳ τῷ ὑπὸ ΔΕ, Η. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΔΖ τῇ ΒΑ, καὶ ἴση ἡ ΓΖ τῇ ΖΑ, ἴση ἄρα καὶ ἡ ΓΔ τῇ ΔΒ· ὥστε τὸ ἀπὸ τῆς ΓΒ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ ΓΔ. καί ἐστι τὸ ἀπὸ τῆς ΓΒ ἴσον τῷ ὑπὸ ΔΕ, Η· ἑκάτερον ἄρα τῶν ἀπὸ ΓΔ, ΔΒ τέταρτον μέρος ἐστὶ τοῦ ὑπὸ ΔΕ, Η εἴδους. αἱ ἄρα ΑΒ, ΑΓ ἀσύμπτωτοί εἰσι τῆς γραφείσης ὑπερβολῆς.

ε'.

Ἐὰν παραβολῆς ἢ ὑπερβολῆς ἡ διάμετρος εὐθεῖάν τινα τέμνῃ δίχα, ἡ κατὰ τὸ πέρας τῆς διαμέτρου ἐπιψαύουσα τῆς τομῆς παράλληλος ἔσται τῇ δίχα τεμνομένῃ εὐθείᾳ.

ἔστω παραβολὴ ἢ ὑπερβολὴ ἡ ΑΒΓ, ἧς διάμετρος ἡ ΔΒΕ, καὶ ἐφαπτέσθω τῆς τομῆς ἡ ΖΒΗ, ἤχθω δέ τις εὐθεῖα ἐν τῇ τομῇ ἡ ΑΕΓ ἴσην ποιοῦσα τὴν ΑΕ τῇ ΕΓ. λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΖΗ.

---

2. τῷ] p, τό V. 3. εἰς ἀσυμπτώτους τὰς ΓΑΒ γράψαι p, Halley. 8. ἐπειζευχθεῖσα V, corr. cv. τῷ] c, corr. ex τό m. 1 V. 18. σύμπτωτοι V, corr. p. 21. ἢ] ἤ V; corr. p,

ducatur $A\varDelta$ et ad E producatur, ponaturque $AE = \varDelta A$, et per $\varDelta$ rectae AB parallela ducatur



$\varDelta Z$, ponaturque $Z\Gamma = AZ$, et ducta $\Gamma\varDelta$ ad B producatur, fiatque

$$\varDelta E \times H = \Gamma B^2,$$

et producta $A\varDelta$ circum eam per $\varDelta$ hyperbola ita describatur, ut rectae ordinate ductae quadratae aequales sint spatiis rectae H adplicatis excedentibus figura rectangulo $\varDelta E \times H$ simili [I, 53]. iam quoniam $\varDelta Z$ rectae BA parallela est, et $\Gamma Z = ZA$, erit etiam $\Gamma\varDelta = \varDelta B$ [Eucl. VI, 2]. quare $\Gamma B^2 = 4\,\Gamma\varDelta^2$. est autem $\Gamma B^2 = \varDelta E \times H$. itaque

$$\Gamma\varDelta^2 = \varDelta B^2 = \tfrac{1}{4}\varDelta E \times H.$$

ergo AB, $A\Gamma$ asymptotae sunt hyperbolae descriptae [prop. I].

V.

Si diametrus parabolae uel hyperbolae rectam aliquam in duas partes aequales secat, recta in termino diametri sectionem contingens rectae in duas partes aequales sectae parallela erit.

sit $AB\Gamma$ parabola uel hyperbola, cuius diametrus sit $\varDelta BE$, et ZBH sectionem contingat, ducatur autem in sectione recta aliqua $AE\Gamma$ efficiens $AE = E\Gamma$ dico, $A\Gamma$ et ZH parallelas esse.

εἰ γὰρ μή, ἤχθω διὰ τοῦ Γ τῇ ΖΗ παράλληλος ἡ ΓΘ, καὶ ἐπεζεύχθω ἡ ΘΑ. ἐπεὶ οὖν παραβολὴ ἢ ὑπερβολή ἐστιν ἡ ΑΒΓ, ἧς διάμετρος μὲν ἡ ΔΕ, ἐφαπτομένη δὲ ἡ ΖΗ, καὶ παράλληλος αὐτῇ ἡ ΓΘ, ἴση ἐστὶν ἡ ΓΚ τῇ ΚΘ. ἀλλὰ καὶ ἡ ΓΕ τῇ ΕΑ. ἡ ἄρα ΑΘ τῇ ΚΕ παράλληλός ἐστιν· ὅπερ ἀδύνατον· συμπίπτει γὰρ ἐκβαλλομένη τῇ ΒΔ.

ϛʹ.

Ἐὰν ἐλλείψεως ἢ κύκλου περιφερείας ἡ διάμετρος εὐθεῖάν τινα δίχα τέμνῃ μὴ διὰ τοῦ κέντρου οὖσαν, ἡ κατὰ τὸ πέρας τῆς διαμέτρου ἐπιψαύουσα τῆς τομῆς παράλληλος ἔσται τῇ δίχα τεμνομένῃ εὐθείᾳ.

ἔστω ἔλλειψις ἢ κύκλου περιφέρεια, ἧς διάμετρος ἡ ΑΒ, καὶ ἡ ΑΒ τὴν ΓΔ μὴ διὰ τοῦ κέντρου οὖσαν δίχα τεμνέτω κατὰ τὸ Ε. λέγω, ὅτι ἡ κατὰ τὸ Α ἐφαπτομένη τῆς τομῆς παράλληλός ἐστι τῇ ΓΔ.



μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω τῇ κατὰ τὸ Α ἐφαπτομένῃ παράλληλος ἡ ΔΖ· ἴση ἄρα ἐστὶν ἡ ΔΗ τῇ ΖΗ. ἔστι δὲ καὶ ἡ ΔΕ τῇ ΕΓ· παράλληλος ἄρα ἐστὶν ἡ ΓΖ τῇ ΗΕ· ὅπερ ἄτοπον. εἴτε γὰρ το Η σημεῖον κέντρον ἐστὶ τῆς ΑΒ τομῆς, ἡ ΓΖ συμπεσεῖται τῇ ΑΒ, εἴτε μή ἐστιν, ὑποκείσθω τὸ Κ, καὶ ἐπιζευχθεῖσα ἡ ΔΚ ἐκβεβλήσθω ἐπὶ τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΓΘ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΔΚ τῇ ΚΘ, ἔστι δὲ καὶ

3. ΑΒΓ] c, Α e corr. m. 1 V. 18. ΓΔ] cvp, ΓΘ e corr. m. 2 V. 21. Α] cvp, euan. V. 23. ΔΗ] ΔΒ e corr. V, corr. p.



nam si minus, per Γ rectae ZH parallela ducatur $\Gamma\Theta$, ducaturque $\Theta\varDelta$. iam quoniam $\varDelta B\Gamma$ parabola uel hyperbola est, cuius diametrus est $\varDelta E$, contingens autem ZH, eique parallela $\Gamma\Theta$, erit $\Gamma K = K\Theta$ [I, 46—47]. uerum etiam $\Gamma E = E\varDelta$. que $\varDelta\Theta$, KE parallelae erunt [Eucl. VI, 2]; quod i non potest; nam $\varDelta\Theta$ producta cum $B\varDelta$ concurrit 22].

VI.

Si diametrus ellipsis uel circuli ambitus rectam quam non per centrum ductam in duas partes quales secat, recta in termino diametri sectionem ntingens rectae in duas partes aequales sectae rallela erit.

sit ellipsis uel circuli ambitus, cuius diametrus sit B, et $\varDelta B$ rectam $\Gamma\varDelta$ non per centrum ductam in as partes aequales secet in E. dico, rectam in $\varDelta$ ctionem contingentem rectae $\Gamma\varDelta$ parallelam esse.

ne sit enim, sed, si fieri potest, sit $\varDelta Z$ rectae in contingenti parallela. itaque erit $\varDelta H = ZH$ [I, 47]. rum etiam $\varDelta E = E\Gamma$. itaque ΓZ, HE parallelae nt [Eucl. VI, 2]; quod absurdum est. nam siue H mctum centrum est sectionis $\varDelta B$, ΓZ cum $\varDelta B$ ncurret [I, 23], siue non est, supponatur K centrum, ducta $\varDelta K$ producatur ad Θ, ducaturque $\Gamma\Theta$. quonm igitur $\varDelta K = K\Theta$ et etiam $\varDelta E = E\Gamma$, $\Gamma\Theta$ rectae ἡ ΔΕ τῇ ΕΓ, παράλληλος ἄρα ἐστὶν ἡ ΓΘ τῇ ΑΒ. ἀλλὰ καὶ ἡ ΓΖ· ὅπερ ἄτοπον. ἡ ἄρα κατὰ τὸ Α ἐφαπτομένη παράλληλός ἐστι τῇ ΓΔ.

ζʹ.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας εὐθεῖα ἐφάπτηται, καὶ ταύτῃ παράλληλος ἀχθῇ ἐν τῇ τομῇ καὶ δίχα τμηθῇ, ἡ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὴν διχοτομίαν ἐπιζευχθεῖσα εὐθεῖα διάμετρος ἔσται τῆς τομῆς.

ἔστω κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ΑΒΓ, ἐφαπτομένη δὲ αὐτῆς ἡ ΖΗ, καὶ τῇ ΖΗ παράλληλος ἡ ΑΓ καὶ δίχα τετμήσθω κατὰ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΒΕ. λέγω, ὅτι ἡ ΒΕ διάμετρός ἐστι τῆς τομῆς.

μὴ γάρ, ἀλλά, εἰ δυνατόν, ἔστω διάμετρος τῆς τομῆς ἡ ΒΘ. ἴση ἄρα ἐστὶν ἡ ΑΘ τῇ ΘΓ· ὅπερ ἄτοπον· ἡ γὰρ ΑΕ τῇ ΕΓ ἴση ἐστίν. οὐκ ἄρα ἡ ΒΘ διάμετρος ἔσται τῆς τομῆς. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλη τις πλὴν τῆς ΒΕ.

ηʹ.

Ἐὰν ὑπερβολῇ εὐθεῖα συμπίπτῃ κατὰ δύο σημεῖα, ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται ταῖς ἀσυμπτώτοις, καὶ αἱ ἀπολαμβανόμεναι ἀπ' αὐτῆς ὑπὸ τῆς τομῆς πρὸς ταῖς ἀσυμπτώτοις ἴσαι ἔσονται.

ἔστω ὑπερβολὴ ἡ ΑΒΓ, ἀσύμπτωτοι δὲ αἱ ΕΔ, ΔΖ, καὶ τῇ ΑΒΓ συμπιπτέτω τις ἡ ΑΓ. λέγω, ὅτι ἐκβαλλομένη ἐφ' ἑκάτερα συμπεσεῖται ταῖς ἀσυμπτώτοις.

τετμήσθω ἡ ΑΓ δίχα κατὰ τὸ Η, καὶ ἐπεζεύχθω

---

1. ΓΘ] cvp, euan. V. 8. διάμετρον V; corr. p. 13. δυνατόν] cv, -όν euan. V. 21. αἱ] om. V, corr. p.

AB parallela est [Eucl. VI, 2]. uerum etiam ΓZ ei parallela est; quod absurdum est [Eucl. I, 30]. ergo recta in A contingens rectae $\Gamma\Delta$ parallela est.

VII.

Si recta coni sectionem uel circuli ambitum contingit, et in sectione recta huic parallela ducitur et in duas partes aequales secatur, recta a puncto contactus ad medium punctum ducta diametrus sectionis erit.



sit coni sectio uel circuli ambitus $AB\Gamma$, contingens autem ZH, et rectae ZH parallela $A\Gamma$, quae in E in duas partes aequales secetur, ducaturque BE. dico, BE diametrum sectionis esse.

ne sit enim, sed, si fieri potest, diametrus sectionis sit $B\Theta$. itaque $A\Theta = \Theta\Gamma$ [I deff. pr. 4]; quod absurdum est; nam $AE = E\Gamma$. ergo $B\Theta$ diametrus sectionis non erit. iam eodem modo demonstrabimus, ne aliam quidem ullam diametrum esse praeter BE.

VIII.

Si recta cum hyperbola in duobus punctis concurrit, in utramque partem producta cum asymptotis concurret, et rectae ex ea ad asymptotas a sectione abscisae aequales erunt.

sit hyperbola $AB\Gamma$, asymptotae autem $E\Delta$, ΔZ, et cum $AB\Gamma$ concurrat recta aliqua $A\Gamma$. dico, eam in utramque partem productam cum asymptotis concurrere.

ἡ ΔΗ. διάμετρος ἄρα ἐστὶ τῆς τομῆς· ἡ ἄρα κατὰ τὸ Β ἐφαπτομένη παράλληλός ἐστι τῇ ΑΓ. ἔστω οὖν ἐφαπτομένη ἡ ΘΒΚ· συμπεσεῖται δὴ ταῖς ΕΔ, ΔΖ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΚΘ, καὶ ἡ ΚΘ συμπίπτει ταῖς ΔΚ, ΔΘ, καὶ ἡ ΑΓ ἄρα συμπεσεῖται ταῖς ΔΕ, ΔΖ.

συμπιπτέτω κατὰ τὰ Ε, Ζ· καί ἐστιν ἴση ἡ ΘΒ τῇ ΒΚ· ἴση ἄρα καὶ ἡ ΖΗ τῇ ΗΕ. ὥστε καὶ ἡ ΓΖ τῇ ΔΕ.

θʹ.

Ἐὰν εὐθεῖα συμπίπτουσα ταῖς ἀσυμπτώτοις δίχα τέμνηται ὑπὸ τῆς ὑπερβολῆς, καθ᾽ ἓν μόνον σημεῖον ἅπτεται τῆς τομῆς.



εὐθεῖα γὰρ ἡ ΓΔ συμπίπτουσα ταῖς ΓΑΔ ἀσυμπτώτοις δίχα τεμνέσθω ὑπὸ τῆς ὑπερβολῆς κατὰ τὸ Ε σημεῖον. λέγω, ὅτι κατ᾽ ἄλλο σημεῖον οὐχ ἅπτεται τῆς τομῆς.

εἰ γὰρ δυνατόν, ἁπτέσθω κατὰ τὸ Β. ἴση ἄρα ἐστὶν ἡ ΓΕ τῇ ΒΔ· ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἡ ΓΕ τῇ ΕΔ ἴση. οὐκ ἄρα καθ᾽ ἕτερον σημεῖον ἅπτεται τῆς τομῆς.

ιʹ.

Ἐὰν εὐθεῖά τις τέμνουσα τὴν τομὴν συμπίπτῃ ἑκατέρᾳ τῶν ἀσυμπτώτων, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν ἀπολαμβανομένων εὐθειῶν μεταξὺ τῶν ἀσυμπτώτων καὶ τῆς τομῆς ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ γινο-

---

1. ἡ] (alt.) c, renouat. m. rec. V. 5. ΔΘ] ΚΘ V, corr. p. 15. ΓΑΔ] c, Δ e corr. m. 1 V.

$A\Gamma$ in H in duas partes aequales secetur, et ducatur ΔH; ea igitur diametrus sectionis est [prop. VII].



itaque recta in B contingens rectae $A\Gamma$ parallela est [prop. V—VI]. contingat igitur $\Theta B K$. itaque cum $E\Delta$, ΔZ concurret [prop. III]. quoniam igitur $A\Gamma$ et $K\Theta$ parallelae sunt, et $K\Theta$ cum ΔK, $\Delta\Theta$ concurrit, etiam $A\Gamma$ cum ΔE, ΔZ concurret. concurrat in E, Z. et $\Theta B = BK$; quare etiam [Eucl. VI, 4] $ZH = HE$. ergo etiam $\Gamma Z = AE$.

IX.

Si recta cum asymptotis concurrens ab hyperbola in duas partes aequales secatur, in uno puncto solo sectionem tangit.

recta enim $\Gamma\Delta$ cum asymptotis $\Gamma A\Delta$ concurrens ab hyperbola in puncto E in duas partes aequales secetur. dico, eam in nullo alio puncto sectionem tangere.

$$\varDelta H^2 + HN^2 = \Xi H^2 + HO^2 + 2N\Xi \times \Xi\varDelta$$
$$= \Xi H^2 + HO^2 + 2\varDelta E^2 \text{ [II, 11, 16]}.$$

$M\varDelta$ V; corr. p ($\varDelta N$). 20. τά] τό V; corr. p. 21. ΞHO] ΞNO V; corr. Memus. 23. τουτέστι — $O\varDelta\Xi$] deleo. 26. τῷ] τό V; corr. p.

λόγον ἔχει, ὃν τὸ ἀπο ΑΓ πρὸς τὸ ἀπὸ ΒΔ· καὶ τὰ ἀπὸ ΞΗΟ ἄρα μετα τοῦ δὶς ἀπὸ ΕΑ πρὸς τα ἀπο ΖΗΚ λόγον ἔχει, ὃν τὸ ἀπὸ ΑΓ πρὸς τὸ ἀπὸ ΒΔ.

λ'.

Ἐὰν ὑπερβολῆς δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ μὲν τῶν ἁφῶν εὐθεῖα ἐκβληθῇ, διὰ δὲ τῆς συμπτώσεως ἀχθῇ εὐθεῖα παρά τινα τῶν ἀσυμπτώτων τέμνουσα τήν τε τομὴν καὶ την τὰς ἁφὰς ἐπιζευγνύουσαν, ἡ μεταξὺ τῆς συμπτώσεως καὶ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης δίχα τμηθήσεται ὑπὸ τῆς τομῆς.

ἔστω ὑπερβολὴ ἡ ΑΒΓ, καὶ ἐφαπτόμεναι μὲν αἱ ΑΔΓ, ἀσύμπτωτοι δὲ αἱ ΕΖΗ, καὶ ἐπεζεύχθω ἡ ΑΓ, καὶ διὰ τοῦ Δ παρὰ τὴν ΖΕ ἤχθω ἡ ΔΚΛ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΔΚ τῇ ΚΛ.

ἐπεζεύχθω γὰρ ἡ ΖΔΒΜ καὶ ἐκβεβλήσθω ἐφ' ἑκάτερα, καὶ κείσθω τῇ ΒΖ ἴση ἡ ΖΘ, καὶ διὰ τῶν Β, Κ σημείων παρὰ τὴν ΑΓ ἤχθωσαν αἱ ΒΕ, ΚΝ· τεταγμένως ἄρα κατηγμέναι εἰσί. καὶ ἐπεὶ ὅμοιόν ἐστι το ΒΕΖ τρίγωνον τῷ ΔΝΚ, ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΔΝ πρὸς τὸ ἀπὸ ΝΚ, τὸ ἀπὸ ΒΖ πρὸς τὸ ἀπὸ ΒΕ. ὡς δὲ τὸ ἀπὸ ΒΖ πρὸς τὸ ἀπὸ ΒΕ, οὕτως ἡ ΘΒ πρὸς τὴν ὀρθίαν· καὶ ὡς ἄρα τὸ ἀπὸ ΔΝ πρὸς τὸ ἀπὸ ΝΚ, ἡ ΘΒ πρὸς τὴν ὀρθίαν. ἀλλ' ὡς ἡ ΘΒ πρὸς τὴν ὀρθίαν, οὕτως τὸ ὑπὸ ΘΝΒ πρὸς τὸ ἀπὸ ΝΚ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΔΝ πρὸς τὸ ἀπὸ ΝΚ, τὸ ὑπὸ ΘΝΒ πρὸς τὸ ἀπὸ ΝΚ. ἴσον ἄρα ἐστὶ τὸ ὑπὸ ΘΝΒ τῷ ἀπὸ ΔΝ. ἔστι δὲ καὶ τὸ ὑπὸ ΜΖΔ ἴσον τῷ ἀπὸ

---

3. ἀπὸ] (alt.) om. V; corr. p. 13. ΖΕ] ΖΗ V; corr. Comm. (ef). 23. ἀλλ' — 24. ὀρθίαν] om. V; corr. Memus.

uerum $\varDelta H^2 + HN^2 : ZH^2 + HK^2 = A\Gamma^2 : B\varDelta^2$ [prop. XXVIII]; quare etiam

$$\Xi H^2 + HO^2 + 2\,E A^2 : ZH^2 + HK^2 = A\Gamma^2 : B\varDelta^2.$$

XXX.

Si duae rectae hyperbolam contingentes concurrunt, et per puncta contactus recta ducitur, per punctum concursus autem recta alterutri asymptotarum parallela ducitur secans et sectionem et rectam puncta contactus coniungentem, recta inter punctum concursus rectamque puncta contactus coniungentem posita a sectione in duas partes aequales secabitur.



sit hyperbola $AB\Gamma$ et contingentes $A\varDelta$, $\varDelta\Gamma$, asymptotae autem EZ, ZH, ducaturque $A\Gamma$, et per $\varDelta$ rectae ZE parallela ducatur $\varDelta K\Lambda$. dico, esse

$$\varDelta K = K\Lambda.$$

ducatur enim $Z\varDelta BM$ et in utramque partem producatur, ponaturque $Z\Theta = BZ$, per puncta B, K autem rectae $A\Gamma$ parallelae ducantur BE, KN; eae igitur ordinate ductae sunt [I def. 4]. et quoniam trianguli BEZ, $\varDelta NK$ similes sunt [Eucl. I, 29], erit

$$\varDelta N^2 : NK^2 = BZ^2 : BE^2 \text{ [Eucl. VI, 4].}$$

uerum ut $BZ^2 : BE^2$, ita ΘB ad latus rectum [II, 1]; itaque etiam, ut $\varDelta N^2 : NK^2$, ita ΘB ad latus rectum. est autem, ut ΘB ad latus rectum, ita $\Theta N \times NB : NK^2$

ΖΒ, διότι ἡ μὲν ΑΔ ἐφάπτεται, ἡ δὲ ΑΜ κατῆκται· ὥστε καὶ τὸ ὑπὸ ΘΝΒ μετὰ τοῦ ἀπὸ ΖΒ ἴσον ἐστὶ τῷ ὑπὸ ΜΖΔ μετὰ τοῦ ἀπὸ ΔΝ. τὸ δὲ ὑπὸ ΘΝΒ μετὰ τοῦ ἀπὸ ΖΒ ἴσον ἐστὶ τῷ ἀπὸ ΖΝ· καὶ τὸ ὑπὸ ΜΖΔ ἄρα μετὰ τοῦ ἀπὸ ΔΝ ἴσον ἐστὶ τῷ ὑπὸ ΖΝ. ἡ ἄρα ΔΜ δίχα τέτμηται κατὰ τὸ Ν προσκειμένην ἔχουσα τὴν ΔΖ. καὶ παράλληλοί εἰσιν αἱ ΚΝ, ΑΜ· ἴση ἄρα ἡ ΔΚ τῇ ΚΑ.

λα'.

Ἐαν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ μὲν τῶν ἁφῶν εὐθεῖα ἐκβληθῇ, διὰ δὲ τῆς συμπτώσεως ἀχθῇ εὐθεῖα παρὰ τὴν ἀσύμπτωτον τέμνουσα τήν τε τομὴν καὶ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, ἡ μεταξὺ τῆς συμπτώσεως καὶ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης δίχα τμηθήσεται ὑπὸ τῆς τομῆς.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, ἐφαπτόμεναι δὲ αἱ ΑΓΒ, καὶ ἐπιζευχθεῖσα ἡ ΑΒ ἐκβεβλήσθω, ἀσύμπτωτος δὲ ἔστω ἡ ΖΕ, καὶ διὰ τοῦ Γ παρὰ τὴν ΖΕ ἤχθω ἡ ΓΗΘ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΓΗ τῇ ΗΘ.



ἐπεζεύχθω ἡ ΓΕ καὶ ἐκβεβλήσθω ἐπὶ τὸ Δ, καὶ διὰ τῶν Ε, Η παρὰ τὴν ΑΒ ἤχθωσαν ἡ ΝΕΚΜ καὶ η ΗΞ, διὰ δὲ τῶν Η, Κ παρὰ τὴν ΓΔ αἱ ΚΖ, ΗΛ.

ἐπεὶ ὅμοιόν ἐστι τὸ ΚΖΕ τῷ ΜΛΗ, ἔστιν, ὡς τὸ ἀπὸ ΚΕ πρὸς τὸ ἀπὸ ΚΖ, το ἀπο ΜΛ προς τὸ ἀπὸ

17. ΑΓΒ] ΑΓ V; corr. p (ΑΓ, ΒΓ). 19. Γ] ΓΑ V; corr. p. 25. ΝΕΚΜ] $\overline{ΕΚ}$ $\overline{ΜΝ}$ V; corr. Halley. 28. τό] (tert.) om. V (in fine lineae); corr. p.

[I, 21]; quare etiam $\Delta N^2 : NK^2 = \Theta N \times NB : NK^2$. quare $\Theta N \times NB = \Delta N^2$ [Eucl. V, 9]. est autem etiam $MZ \times Z\Delta = ZB^2$ [I, 37], quia $A\Delta$ contingit, AM autem ordinate ducta est. itaque etiam

$$\Theta N \times NB + ZB^2 = MZ \times Z\Delta + \Delta N^2.$$

uerum $\Theta N \times NB + ZB^2 = ZN^2$ [Eucl. II, 6]; quare etiam $MZ \times Z\Delta + \Delta N^2 = ZN^2$; itaque ΔM in N in duas partes aequales secta est adiectam habens ΔZ [Eucl. II, 6]. et KN, AM parallelae sunt; ergo [Eucl. VI, 2] $\Delta K = KA$.

XXXI.

Si duae rectae sectiones oppositas contingentes concurrunt, et per puncta contactus recta ducitur, per punctum concursus autem recta asymptotae parallela ducitur secans et sectionem et rectam puncta contactus coniungentem, recta inter punctum concursus rectamque puncta contactus coniungentem posita a sectione in duas partes aequales secabitur.

sint oppositae A, B, contingentes autem $A\Gamma$, ΓB, et ducta AB producatur, asymptota autem sit ZE, et per Γ rectae ZE parallela ducatur $\Gamma H\Theta$. dico, esse $\Gamma H = H\Theta$.

ducatur ΓE et ad Δ producatur, per E, H autem rectae AB parallelae ducantur $NEKM$, $H\Xi$ et per H, K rectae $\Gamma\Delta$ parallelae KZ, HA.

quoniam KZE, MAH similes sunt [Eucl. I, 29], erit $KE^2 : KZ^2 = MA^2 : AH^2$ [Eucl. VI, 4]. demonstrauimus autem [prop. XXX ex II, 1 et I, 21], esse $EK^2 : KZ^2 = NA \times AK : AH^2$. itaque [Eucl. V, 9] $NA \times AK = MA^2$. commune adiiciatur KE^2; itaque

ΔΗ. ὡς δὲ το ἀπὸ *ΕΚ* πρὸς το ἀπο *ΚΖ*, δέδεικται τὸ ὑπὸ *ΝΔΚ* πρὸς τὸ ἀπὸ *ΔΗ*· ἴσον ἄρα τὸ ὑπὸ *ΝΔΚ* τῷ ἀπὸ *ΜΔ*. κοινὸν προσκείσθω τὸ ἀπο *ΚΕ*· τὸ ἄρα ὑπὸ *ΝΔΚ* μετὰ τοῦ ἀπὸ *ΚΕ*, τουτέστι τὸ ἀπὸ *ΔΕ*, τουτέστι τὸ ἀπὸ *ΗΞ*, ἴσον ἐστὶ τοῖς ἀπὸ *ΜΔ*, *ΚΕ*. ὡς δὲ τὸ ἀπὸ *ΗΞ* πρὸς τὰ ἀπὸ *ΜΔ*, *ΚΕ*, οὕτως τὸ ἀπὸ *ΞΓ* πρὸς τὰ ἀπὸ *ΔΗ*, *ΚΖ*· ἴσον ἄρα τὸ ἀπὸ *ΞΓ* τοῖς ἀπὸ *ΗΔ*, *ΚΖ*. ἴσον δὲ τὸ μὲν ἀπὸ *ΔΗ* τῷ ἀπὸ *ΞΕ*, τὸ δὲ ἀπὸ *ΚΖ* τῷ ἀπὸ τῆς ἡμισείας τῆς δευτέρας διαμέτρου, τουτέστι τῷ ὑπο *ΓΕΔ*· το ἄρα ἀπὸ *ΓΞ* ἴσον ἐστὶ τῷ τε ἀπὸ *ΞΕ* καὶ τῷ ὑπὸ *ΓΕΔ*. ἡ ἄρα *ΓΔ* δίχα μὲν τέτμηται κατὰ τὸ *Ξ*, εἰς δὲ ἄνισα κατὰ το *Ε*. καὶ παράλληλος ἡ *ΔΘ* τῇ *ΗΞ*· ἴση ἄρα ἡ *ΓΗ* τῇ *ΗΘ*.

λβ'.

Ἐὰν ὑπερβολῆς δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ τῶν ἁφῶν εὐθεῖα ἐκβληθῇ, διὰ δὲ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἀχθῇ εὐθεῖα παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, διὰ δὲ τῆς διχοτομίας τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης ἀχθῇ εὐθεῖα παρά τινα τῶν ἀσυμπτώτων, ἡ μεταξὺ τῆς διχοτομίας καὶ τῆς παραλλήλου ἀπολαμβανομένη δίχα τμηθήσεται ὑπὸ τῆς τομῆς.

ἔστω ὑπερβολὴ ἡ *ΑΒΓ*, ἧς κέντρον τὸ *Δ*, ἀσύμπτωτος δὲ ἡ *ΔΕ*, καὶ ἐφαπτέσθωσαν αἱ *ΑΖ*, *ΖΓ*, καὶ ἐπεζεύχθω ἡ *ΓΑ* καὶ ἡ *ΖΔ* καὶ ἐκβεβλήσθω ἐπὶ τὰ *Η*, *Θ*· φανερὸν δή, ὅτι ἴση ἐστὶν ἡ *ΑΘ* τῇ *ΘΓ*. ἤχθω δὴ διὰ μὲν τοῦ *Ζ* παρὰ τὴν *ΑΓ* ἡ *ΖΚ*, διὰ δὲ τοῦ *Θ*

---

6. *ΗΞ*] p, corr. ex *ΗΓ* m. 1 V; *ΗΓΞ* cv. τά] τό V; corr. p. 7. τά] τό V; corr. p. 26. *ΖΔ*] *ΞΔ* vc et V?; corr. p.

$$N\varLambda \times \varLambda K + KE^2 = M\varLambda^2 + KE^2 = \varLambda E^2 \text{ [Eucl. II, 6]}$$
$$= H\Xi^2 \text{ [Eucl. I, 34].}$$

est autem $H\Xi^2 : M\varLambda^2 + KE^2 = \Xi\Gamma^2 : \varLambda H^2 + KZ^2$ [Eucl. VI, 4; V, 12]; itaque $\Xi\Gamma^2 = H\varLambda^2 + KZ^2$. est autem $\varLambda H^2 = \Xi E^2$ [Eucl. I, 34] et KZ^2 quadrato dimidiae secundae diametri aequale [II, 1], hoc est $KZ^2 = \Gamma E \times E\varDelta$ [I, 38]; itaque

$$\Gamma\Xi^2 = \Xi E^2 + \Gamma E \times E\varDelta.$$

$\Gamma\varDelta$ igitur in Ξ in duas partes aequales, in E autem in inaequales secta est [Eucl. II, 5]. et $\varDelta\Theta$, $H\Xi$ parallelae sunt; ergo $\Gamma H = H\Theta$ [Eucl. VI, 2].

XXXII.

Si duae rectae hyperbolam contingentes concurrunt, et per puncta contactus recta ducitur, per punctum autem concursus contingentium recta rectae puncta contactus coniungenti parallela ducitur, et per punctum medium rectae puncta contactus coniungentis recta alterutri asymptotarum parallela ducitur, recta inter punctum medium parallelamque abscisa a sectione in duas partes aequales secabitur.



sit hyperbola $AB\Gamma$, cuius centrum sit $\varDelta$, asymptota autem $\varDelta E$, et contingant AZ, $Z\Gamma$, ducaturque ΓA et $Z\varDelta$, quae ad H, Θ producatur; manifestum igitur, esse $A\Theta = \Theta\Gamma$ [II, 30]. iam per Z rectae $A\Gamma$ parπαρὰ τὴν ΔΕ ἡ ΘΛΚ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΚΛ τῇ ΘΛ.

ἤχθωσαν διὰ τῶν Β, Λ παρὰ την ΑΓ αἱ ΛΜ, ΒΕ· ἔσται δή, ὡς προδέδεικται, ὡς τὸ ἀπὸ ΔΒ πρὸς τὸ ἀπὸ ΒΕ, τό τε ἀπὸ ΘΜ πρὸς τὸ ἀπὸ ΜΛ καὶ τὸ ὑπο ΒΜΗ πρὸς τὸ ἀπὸ ΜΛ· ἴσον ἄρα τὸ ὑπὸ ΗΜΒ τῷ ἀπὸ ΜΘ. ἔστι δὲ καὶ τὸ ὑπὸ ΘΔΖ ἴσον τῷ ἀπὸ ΔΒ, διότι ἐφάπτεται ἡ ΛΖ, καὶ κατῆκται ἡ ΛΘ· τὸ ἄρα ὑπὸ ΗΜΒ μετὰ τοῦ ἀπὸ ΔΒ, ὅ ἐστι τὸ ἀπὸ ΔΜ, ἴσον ἐστὶ τῷ ὑπὸ ΘΔΖ μετὰ τοῦ ἀπὸ ΜΘ. δίχα ἄρα τέτμηται ἡ ΖΘ κατὰ τὸ Μ προσκειμένην ἔχουσα τὴν ΔΖ. καί εἰσι παράλληλοι αἱ ΚΖ, ΛΜ· ἴση ἄρα ἡ ΚΛ τῇ ΛΘ.

λγ'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ μὲν τῶν ἁφῶν εὐθεῖα ἐκβληθῇ, διὰ δὲ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἀχθῇ εὐθεῖα παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, διὰ δὲ τῆς διχοτομίας τῆς τὰς ἁφας ἐπιζευγνυούσης ἀχθῇ εὐθεῖα παρά τινα τῶν ἀσυμπτώτων συμπίπτουσα τῇ τομῇ καὶ τῇ διὰ τῆς συμπτώσεως ἠγμένῃ παραλλήλῳ, ἡ μεταξὺ τῆς διχοτομίας καὶ τῆς παραλλήλου ὑπὸ τῆς τομῆς δίχα διαιρεθήσεται.



ἔστωσαν ἀντικείμεναι αἱ ΑΒΓ, ΔΕΖ καὶ ἐφαπτόμεναι αἱ ΑΗ, ΔΗ, κέντρον δὲ τὸ Θ, ἀσύμπτωτος δὲ ἡ ΚΘ, καὶ ἐπεζεύχθω ἡ ΘΗ καὶ ἐκβεβλήσθω, ἐπεζεύχθω δὲ καὶ ἡ

7. τῷ] pc, corr. ex τό m. 1 V. 11. ΖΘ] ΞΘ V; corr. Memus. 27. ΔΗ] ΗΔ Halley cum Comm.

allela ducatur ZK, per Θ autem rectae $\varDelta E$ parallela $\Theta \varLambda K$. dico, esse $K\varLambda = \Theta\varLambda$.

per B, $\varLambda$ rectae $\varDelta\Gamma$ parallelae ducantur $\varLambda M$, BE; erit igitur, ut antea demonstratum est [prop. XXX ex II, 1 et I, 21]

$\varDelta B^2 : BE^2 = \Theta M^2 : M\varLambda^2$ [Eucl. VI, 4] $= BM \times MH : M\varLambda^2$.

itaque [Eucl. V, 9] $HM \times MB = M\Theta^2$. uerum etiam $\Theta\varDelta \times \varDelta Z = \varDelta B^2$, quia $\varLambda Z$ contingit, et $\varLambda\Theta$ ordinate ducta est [I, 37]. itaque

$HM \times MB + \varDelta B^2 = \Theta\varDelta \times \varDelta Z + M\Theta^2 = \varDelta M^2$

[Eucl. II, 6]. $Z\Theta$ igitur in M in duas partes aequales secta est adiectam habens $\varDelta Z$ [Eucl. II, 6]. et KZ, $\varLambda M$ parallelae sunt; ergo $K\varLambda = \varLambda\Theta$ [Eucl. VI, 2].

XXXIII.

Si duae rectae oppositas contingentes concurrunt, per puncta autem contactus recta ducitur, et per punctum concursus contingentium recta rectae puncta contactus coniungenti parallela ducitur, per punctum autem medium rectae puncta contactus coniungentis recta alterutri asymptotarum parallela ducitur concurrens cum sectione et cum recta per punctum concursus parallela ducta, recta inter punctum medium parallelamque posita a sectione in duas partes aequales secabitur.

sint oppositae $AB\Gamma$, $\varDelta EZ$ contingentesque AH, $\varDelta H$, centrum autem Θ et asymptota $K\Theta$, ducaturque ΘH et producatur, ducatur autem etiam $A\varLambda\varDelta$; manifestum igitur, eam in $\varLambda$ in duas partes aequales secari [II, 30]. iam per H, Θ rectae $A\varDelta$ parallelae ducantur $B\Theta E$, ΑΛΔ· φανερὸν δή, ὅτι δίχα τέμνεται κατὰ τὸ Λ. ἤχθωσαν δη διὰ τῶν Η, Θ παρὰ τὴν ΑΔ αἱ ΒΘΕ, ΓΗΖ, παρα δὲ τὴν ΘΚ διὰ τοῦ Λ ἡ ΛΜΝ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΛΜ τῇ ΜΝ.

κατήχθωσαν γὰρ ἀπὸ τῶν Ε, Μ παρὰ τὴν ΗΘ αἱ ΕΚ, ΜΞ, διὰ δὲ τοῦ Μ παρὰ τὴν ΑΔ ἡ ΜΠ.

ἐπεὶ οὖν διὰ τὰ δεδειγμένα ἐστίν, ὡς τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΕΚ, τὸ ὑπὸ ΒΞΕ πρὸς τὸ ἀπὸ ΞΜ, ὡς ἄρα τὸ ἀπο ΘΕ πρὸς το ἀπὸ ΕΚ, τὸ ὑπο ΒΞΕ μετὰ τοῦ ἀπὸ ΘΕ, ὅ ἐστι τὸ ἀπὸ ΘΞ, πρὸς τὰ ἀπὸ ΚΕ, ΞΜ. τὸ δὲ ἀπὸ ΚΕ ἴσον δέδεικται τῷ ὑπὸ ΗΘΛ, καὶ τὸ ἀπὸ ΞΜ τῷ ἀπὸ ΘΠ· ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΕΚ, τὸ ἀπὸ ΘΞ, τουτέστι το ἀπὸ ΜΠ, πρὸς τὸ ὑπὸ ΛΘΗ μετὰ τοῦ ἀπὸ ΘΠ. ὡς δὲ τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΚΕ, τὸ ἀπὸ ΜΠ πρὸς τὸ ἀπὸ ΠΛ· ὡς ἄρα τὸ ἀπὸ ΜΠ πρὸς τὸ ἀπὸ ΠΛ, τὸ ἀπὸ ΜΠ πρὸς τὸ ὑπὸ ΗΘΛ μετὰ τοῦ ἀπὸ ΘΠ. ἴσον ἄρα τὸ ἀπὸ ΛΠ τῷ ὑπὸ ΗΘΛ μετὰ τοῦ ἀπὸ ΘΠ. εὐθεῖα ἄρα ἡ ΛΗ τέτμηται εἰς μὲν ἴσα κατὰ τὸ Π, εἰς δὲ ἄνισα κατὰ τὸ Θ. καί εἰσι παράλληλοι αἱ ΜΠ, ΗΝ· ἴση ἄρα ἡ ΛΜ τῇ ΜΝ.

λδ'.

Ἐὰν ὑπερβολῆς ἐπὶ μιᾶς τῶν ἀσυμπτώτων ληφθῇ τι σημεῖον, καὶ ἀπ' αὐτοῦ εὐθεῖα ἐφάπτηται τῆς τομῆς, καὶ διὰ τῆς ἁφῆς ἀχθῇ παράλληλος τῇ ἀσυμπτώτῳ, ἡ διὰ τοῦ ληφθέντος σημείου ἀγομένη παράλληλος τῇ ἑτέρᾳ τῶν ἀσυμπτώτων ὑπὸ τῆς τομῆς εἰς ἴσα διαιρεθήσεται.

6. τήν] pc, τ corr. ex δ m. 1 V. 8. ΒΞΕ] ΞΕ V; corr. Memus. 9. ΒΞΕ] c, corr. ex ΒΖΕ m. 1 V. 10. ΘΕ, ὅ]

ΓHZ, rectae autem ΘK parallela per Λ recta ΛMN. dico, esse $\Lambda M = MN$.

ducantur enim ab E, M rectae $H\Theta$ parallelae EK, $M\Xi$, per M autem rectae $A\Delta$ parallela $M\Pi$.

quoniam igitur propter ea, quae demonstrata sunt [prop. XXX ex II, 1 et I, 21],

$$\Theta E^2 : EK^2 = B\Xi \times \Xi E : \Xi M^2,$$

erit

$$\Theta E^2 : EK^2 = B\Xi \times \Xi E + \Theta E^2 : KE^2 + \Xi M^2 \text{ [Eucl. V, 12]}$$
$$= \Theta \Xi^2 : KE^2 + \Xi M^2 \text{ [Eucl. II, 6].}$$

demonstrauimus autem [I, 38 coll. II, 1 et I deff. alt. 3], esse $H\Theta \times \Theta \Lambda = KE^2$, et [Eucl. I, 34] $\Xi M^2 = \Theta \Pi^2$; itaque

$$\Theta E^2 : EK^2 = \Theta \Xi^2 : \Lambda\Theta \times \Theta H + \Theta \Pi^2$$
$$= M\Pi^2 : \Lambda\Theta \times \Theta H + \Theta\Pi^2 \text{ [Eucl. I, 34].}$$

est autem $\Theta E^2 : KE^2 = M\Pi^2 : \Pi\Lambda^2$ [Eucl. VI, 4]; itaque $M\Pi^2 : \Pi\Lambda^2 = M\Pi^2 : H\Theta \times \Theta\Lambda + \Theta\Pi^2$. quare $\Lambda\Pi^2 = H\Theta \times \Theta\Lambda + \Theta\Pi^2$ [Eucl. V, 9]. itaque recta ΛH in Π in partes aequales, in Θ autem in inaequales secta est [Eucl. II, 5]. et $M\Pi$, HN parallelae sunt; ergo $\Lambda M = MN$ [Eucl. VI, 2].

XXXIV.

Si in hyperbola in alterutra asymptotarum punctum aliquod sumitur, et ab eo recta sectionem contingit, per punctum contactus autem recta asymptotae parallela ducitur, recta per punctum sumptum alteri asymptotae parallela ducta a sectione in partes aequales secabitur.

ϑεο V; corr. p. 11. $H\Theta\Lambda$] $\Theta H\Lambda$ V; corr. p (τῶν $H\Theta$, $\Theta\Lambda$). 14. $\Lambda\Theta H$] $\Theta\Lambda$, ΘH V; corr. p (τῶν $H\Theta$, $\Theta\Lambda$).

ἔστω ὑπερβολὴ ἡ ΑΒ, ἀσύμπτωτοι δὲ αἱ ΓΔΕ, καὶ εἰλήφθω ἐπὶ τῆς ΓΔ τυχὸν σημεῖον τὸ Γ, καὶ δι' αὐτοῦ ἤχθω ἐφαπτομένη τῆς τομῆς ἡ ΓΒΕ, καὶ διὰ μὲν τοῦ Β παρὰ τὴν ΓΔ ἤχθω ἡ ΖΒΗ, διὰ δὲ τοῦ Γ τῇ ΔΕ ἡ ΓΑΗ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΓΑ τῇ ΑΗ.



ἤχθω γὰρ διὰ μὲν τοῦ Α τῇ ΓΔ παράλληλος ἡ ΑΘ, διὰ δὲ τοῦ Β τῇ ΔΕ ἡ ΒΚ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΓΒ τῇ ΒΕ, ἴση ἄρα καὶ ἡ ΓΚ τῇ ΚΔ καὶ ἡ ΔΖ τῇ ΖΕ. καὶ ἐπεὶ τὸ ὑπὸ ΚΒΖ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΑΘ, ἴση δὲ ἡ ΒΖ τῇ ΔΚ, τουτέστι τῇ ΓΚ, καὶ ἡ ΑΘ τῇ ΔΓ, τὸ ἄρα ὑπὸ ΔΓΑ ἴσον ἐστὶ τῷ ὑπὸ ΚΓΗ. ἔστιν ἄρα, ὡς ἡ ΔΓ πρὸς ΓΚ, ἡ ΓΗ πρὸς ΑΓ. διπλῆ δὲ ἡ ΔΓ τῆς ΓΚ· διπλῆ ἄρα καὶ ἡ ΓΗ τῆς ΑΓ. ἴση ἄρα ἡ ΓΑ τῇ ΑΗ.

λε'.

Τῶν αὐτῶν ὄντων ἐὰν ἀπὸ τοῦ ληφθέντος σημείου εὐθεῖά τις ἀχθῇ τέμνουσα τὴν τομὴν κατὰ δύο σημεῖα, ἔσται, ὡς ὅλη πρὸς τὴν ἐκτὸς ἀπολαμβανομένην, τὰ τμήματα τῆς ἐντὸς ἀπολαμβανομένης εὐθείας.

ἔστω γὰρ ἡ ΑΒ ὑπερβολὴ καὶ αἱ ΓΔΕ ἀσύμπτωτοι καὶ ἡ ΓΒΕ ἐφαπτομένη καὶ ἡ ΘΒ παράλληλος, καὶ διὰ τοῦ Γ διήχθω τις εὐθεῖα ἡ ΓΑΛΖΗ τέμνουσα τὴν τομὴν κατὰ τὰ Α, Ζ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ΖΓ πρὸς ΓΑ, ἡ ΖΛ πρὸς ΑΛ.

ἤχθωσαν γὰρ διὰ τῶν Γ, Α, Β, Ζ παρὰ τὴν ΔΕ

12. ΚΒΖ] ΚΖΒ V; corr. p (τῶν ΚΒ, ΒΖ). 17. ΓΑ] $\overline{\eta\gamma\alpha}$ V; corr. p. 21. ἡ ὅλη?

sit hyperbola AB, asymptotae autem $\Gamma\Delta$, ΔE, et in $\Gamma\Delta$ punctum quoduis sumatur Γ, et per id sectionem contingens ducatur ΓBE, et per B rectae $\Gamma\Delta$ parallela ducatur ZBH, per Γ autem rectae ΔE parallela ΓAH. dico, esse $\Gamma A = AH$.

ducatur enim per A rectae $\Gamma\Delta$ parallela $A\Theta$, per B autem rectae ΔE parallela BK. iam quoniam est $\Gamma B = BE$ [II, 3], erit etiam $\Gamma K = K\Delta$ et $\Delta Z = ZE$ [Eucl. VI, 2]. et quoniam $KB \times BZ = \Gamma A \times A\Theta$ [II, 12], et $BZ = \Delta K$ [Eucl. I, 34] $= \Gamma K$, et $A\Theta = \Delta\Gamma$ [ib.], erit $\Delta\Gamma \times \Gamma A = K\Gamma \times \Gamma H$. itaque [Eucl. VI, 16] $\Delta\Gamma : \Gamma K = \Gamma H : A\Gamma$. uerum $\Delta\Gamma = 2\,\Gamma K$; itaque etiam $\Gamma H = 2\,A\Gamma$. ergo $\Gamma A = AH$.

XXXV.

Iisdem positis si a puncto sumpto recta ducitur sectionem in duobus punctis secans, erunt, ut tota ad partem extrinsecus abscisam, ita partes rectae intra abscisae.

sit enim hyperbola AB, asymptotae $\Gamma\Delta$, ΔE, contingens ΓBE, parallela ΘB, et per Γ recta ducatur



$\Gamma A\Lambda ZH$ sectionem secans in A, Z. dico, esse

$$Z\Gamma : \Gamma A = Z\Lambda : A\Lambda.$$

nam per Γ, A, B, Z rectae ΔE parallelae ducantur $\Gamma N\Xi$, KAM, $O\Pi BP$, $Z\Upsilon$, per A, Z autem rectae $\Gamma\Delta$ parallelae $A\Pi\Sigma$, $TZPM\Xi$.

quoniam igitur $A\Gamma = ZH$ [II, 8], erit etiam αἱ ΓΝΞ, ΚΑΜ, ΟΠΒΡ, ΖΥ, διὰ δὲ τῶν Α, Ζ παρὰ τὴν ΓΔ αἱ ΑΠΣ, ΤΖΡΜΞ.

ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΓ τῇ ΖΗ, ἴση ἄρα καὶ ἡ ΚΑ τῇ ΤΗ. ἡ δὲ ΚΑ τῇ ΔΣ· καὶ ἡ ΤΗ ἄρα τῇ ΔΣ ἴση. ὥστε καὶ ἡ ΓΚ τῇ ΔΥ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΓΚ τῇ ΔΥ, ἴση καὶ ἡ ΔΚ τῇ ΓΥ· ὡς ἄρα ἡ ΔΚ πρὸς ΚΓ, ἡ ΥΓ πρὸς ΓΚ. ὡς δὲ ἡ ΥΓ πρὸς ΓΚ, ἡ ΖΓ πρὸς ΓΑ, ὡς δὲ ἡ ΖΓ πρὸς ΓΑ, ἡ ΜΚ πρὸς ΚΑ, ὡς δὲ ἡ ΜΚ πρὸς ΚΑ, τὸ ΜΔ πρὸς ΔΑ, ὡς δὲ ἡ ΔΚ πρὸς ΚΓ, τὸ ΘΚ πρὸς ΚΝ· καὶ ὡς ἄρα τὸ ΜΔ πρὸς τὸ ΔΑ, τὸ ΘΚ πρὸς ΚΝ. ἴσον δὲ τὸ ΑΔ τῷ ΔΒ, τουτέστι τῷ ΟΝ· ἴση γὰρ ἡ ΓΒ τῇ ΒΕ καὶ ἡ ΔΟ τῇ ΟΓ. ὡς ἄρα τὸ ΔΜ πρὸς ΟΝ, τὸ ΚΘ πρὸς ΚΝ, καὶ λοιπὸν τὸ ΜΘ πρὸς λοιπὸν τὸ ΒΚ ἐστιν, ὡς ὅλον τὸ ΔΜ πρὸς ὅλον τὸ ΟΝ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΚΣ τῷ ΘΟ, κοινὸν ἀφῃρήσθω τὸ ΔΠ· λοιπὸν ἄρα τὸ ΚΠ ἴσον ἐστὶ τῷ ΠΘ. κοινὸν προσκείσθω τὸ ΑΒ· ὅλον ἄρα τὸ ΚΒ ἴσον ἐστὶ τῷ ΑΘ. ἔστιν ἄρα, ὡς τὸ ΜΔ πρὸς ΔΑ, οὕτως τὸ ΜΘ πρὸς ΘΑ. ἀλλ' ὡς μὲν τὸ ΜΔ πρὸς ΔΑ, ἡ ΜΚ πρὸς ΚΑ, τουτέστιν ἡ ΖΓ πρὸς ΓΑ, ὡς δὲ τὸ ΜΘ πρὸς ΘΑ, ἡ ΜΦ πρὸς ΦΑ, τουτέστιν ἡ ΖΛ πρὸς ΛΑ· καὶ ὡς ἄρα ἡ ΖΓ πρὸς ΓΑ, ἡ ΖΛ πρὸς ΛΑ.

λϛ′.

Τῶν αὐτῶν ὄντων ἐὰν ἡ ἀπὸ τοῖ σημείου διαγομένη εὐθεῖα μήτε τὴν τομὴν τέμνῃ κατὰ δύο σημεῖα μήτε παράλληλος ᾖ τῇ ἀσυμπτώτῳ, συμπεσεῖται μὲν

2. ΖΤΡΜΞ V; corr. p. 4. ΚΑ] (pr.) ΓΑ V; corr. p. 6. ΔΚ] (pr.) ΔΓ V; corr. p. 15. ΔΜ] ΑΜ V; corr. Comm. 22. ΖΛ] ΧΛ V; corr. p.

$K\varLambda = TH$ [Eucl. VI, 4]. uerum $K\varLambda = \varDelta\Sigma$ [Eucl. I, 34]; itaque etiam $TH = \varDelta\Sigma$. quare etiam $\varGamma K = \varDelta\Upsilon$ [Eucl. VI, 4; I, 34]. et quoniam $\varGamma K = \varDelta\Upsilon$, erit etiam $\varDelta K = \varGamma\Upsilon$. itaque $\varDelta K : K\varGamma = \Upsilon\varGamma : \varGamma K$ [Eucl. V, 7]. est autem

$$\Upsilon\varGamma : \varGamma K = Z\varGamma : \varGamma\varLambda \text{ [Eucl. VI, 4]}$$
$$= MK : K\varLambda \text{ [Eucl. VI, 4; V, 12, 16]} = M\varDelta : \varDelta\varLambda$$

[Eucl. VI, 1], et [ib.] $\varDelta K : K\varGamma = \Theta K : KN$; quare etiam $M\varDelta : \varDelta\varLambda = \Theta K : KN$. est autem

$$\varLambda\varDelta = \varDelta B \text{ [II, 12]} = ON \text{ [Eucl. VI, 1]};$$

nam $\varGamma B = BE$ [II, 3] et $\varDelta O = O\varGamma$ [Eucl. VI, 2]. itaque $\varDelta M : ON = K\Theta : KN$, et reliquum

$$M\Theta : BK = \varDelta M : ON \text{ [Eucl. V, 19]}.$$

et quoniam est $K\Sigma = \Theta O$ [II, 12], auferatur, quod commune est, $\varDelta\Pi$; itaque reliquum $K\Pi = \Pi\Theta$. commune adiiciatur $\varLambda B$; itaque totum $KB = \varLambda\Theta$. quare $M\varDelta : \varDelta\varLambda = M\Theta : \Theta\varLambda$. uerum

$$M\varDelta : \varDelta\varLambda = MK : K\varLambda \text{ [Eucl. VI, 1]} = Z\varGamma : \varGamma\varLambda,$$

et

$$M\Theta : \Theta\varLambda = M\Phi : \Phi\varLambda \text{ [Eucl. VI, 1]} = Z\varLambda : \varLambda\varLambda \text{ [Eucl. VI, 2]}.$$

ergo etiam $Z\varGamma : \varGamma\varLambda = Z\varLambda : \varLambda\varLambda$.

XXXVI.

Iisdem positis si recta a puncto illo ducta neque sectionem in duobus punctis secat neque asymptotae parallela est, cum sectione opposita concurret, et ut tota ad partem inter sectionem parallelamque per punctum contactus ductam, ita erit recta inter sectioτῇ ἀντικειμένῃ τομῇ, ἔσται δέ, ὡς ὅλη πρὸς τὴν μεταξὺ τῆς τομῆς καὶ τῆς διὰ τῆς ἁφῆς παραλλήλου, ἡ μεταξὺ τῆς ἀντικειμένης καὶ τῆς ἀσυμπτώτου πρὸς τὴν μεταξὺ τῆς ἀσυμπτώτου καὶ τῆς ἑτέρας τομῆς.

ἔστωσαν ἀντικείμεναι αἱ A, B, ὧν κέντρον τὸ Γ, ἀσύμπτωτοι δὲ αἱ ΔE, ZH, καὶ ἐπὶ τῆς ΓH σημεῖον εἰλήφθω τὸ H, καὶ ἀπ' αὐτοῦ ἤχθω ἡ μὲν HBE ἐφαπτομένη, ἡ δὲ $H\Theta$ μήτε παράλληλος οὖσα τῇ ΓE μήτε τὴν τομὴν τέμνουσα κατὰ δύο σημεῖα.

ὅτι μὲν ἡ ΘH ἐκβαλλομένη συμπίπτει τῇ τε $\Gamma\Delta$ καὶ διὰ τοῦτο καὶ τῇ A τομῇ, δέδεικται. συμπιπτέτω κατὰ τὸ A, καὶ ἤχθω διὰ τοῦ B τῇ ΓH παράλληλος ἡ $KB\Lambda$. λέγω, ὅτι ἐστίν, ὡς ἡ AK πρὸς $K\Theta$, οὕτως ἡ AH πρὸς $H\Theta$.

ἤχθωσαν γὰρ ἀπὸ τῶν A, Θ σημείων παρὰ τὴν ΓH αἱ ΘM, AN, ἀπὸ δὲ τῶν B, H, Θ παρὰ τὴν ΔE αἱ $B\Xi$, $H\Pi$, $P\Theta\Sigma N$. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ $A\Delta$ τῇ $H\Theta$, ἔστιν, ὡς ἡ AH πρὸς $H\Theta$, ἡ $\Delta\Theta$ πρὸς ΘH. ἀλλ' ὡς μὲν ἡ AH πρὸς $H\Theta$, ἡ $N\Sigma$ πρὸς $\Sigma\Theta$, ὡς δὲ ἡ $\Delta\Theta$ πρὸς ΘH, ἡ $\Gamma\Sigma$ πρὸς ΣH· καὶ ὡς ἄρα ἡ $N\Sigma$ πρὸς $\Sigma\Theta$, ἡ $\Gamma\Sigma$ πρὸς ΣH. ἀλλ' ὡς μὲν ἡ $N\Sigma$ πρὸς $\Sigma\Theta$, τὸ $N\Gamma$ πρὸς $\Gamma\Theta$, ὡς δὲ ἡ $\Gamma\Sigma$ πρὸς ΣH, τὸ $P\Gamma$ πρὸς PH· καὶ ὡς ἄρα τὸ $N\Gamma$ πρὸς τὸ $\Gamma\Theta$, τὸ ΓP πρὸς τὸ PH. καὶ ὡς ἓν πρὸς ἕν, οὕτως ἅπαντα πρὸς ἅπαντα· ὡς ἄρα τὸ $N\Gamma$ πρὸς $\Gamma\Theta$, ὅλον τὸ $N\Lambda$ πρὸς $\Gamma\Theta$ καὶ PH. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ EB τῇ BH, ἴση ἐστὶ καὶ ἡ ΛB τῇ $B\Pi$ καὶ τὸ $\Lambda\Xi$ τῷ BH. τὸ δὲ $\Lambda\Xi$ ἴσον τῷ $\Gamma\Theta$· καὶ τὸ BH ἄρα ἴσον τῷ $\Gamma\Theta$. ἔστιν ἄρα, ὡς τὸ $N\Gamma$ πρὸς $\Gamma\Theta$, οὕτως ὅλον τὸ ΛN πρὸς τὸ BH

1. ἡ ὅλη? 2. ἁφῆς] om. V; corr. Memus. 13. $KB\Lambda$] $BK\Lambda$ V; corr. p (ΛBK). 17. $P\Theta\Sigma N$] $\Theta P\Sigma N$ V; corr. p.

nem oppositam asymptotamque posita ad rectam inter asymptotam alteramque sectionem positam.

sint oppositae A, B, quarum centrum sit Γ, asymptotae autem ΔE, ZH, et in ΓH sumatur punctum H, ab eoque contingens ducatur HBE, $H\Theta$ autem ita, ut neque rectae ΓE parallela sit neque sectionem in duobus punctis secet.



iam rectam ΘH productam et cum $\Gamma\Delta$ concurrere et ea de causa cum sectione, demonstratum est [II, 11]. concurrat in A, et per B rectae ΓH parallela ducatur $KB\Delta$. dico, esse $AK : K\Theta = AH : H\Theta$.

ducantur enim a punctis A, Θ rectae ΓH parallelae ΘM, AN, a B, H, Θ autem rectae ΔE parallelae $B\Xi$, $H\Pi$, $P\Theta\Sigma N$. quoniam igitur $A\Delta = H\Theta$ [II, 16], erit $AH : H\Theta = \Delta\Theta : \Theta H$ [Eucl. V, 7]. uerum $AH : H\Theta = N\Sigma : \Sigma\Theta$ [Eucl. VI, 2] et $\Delta\Theta : \Theta H = \Gamma\Sigma : \Sigma H$ [Eucl. VI, 4; V, 12, 16]; quare etiam $N\Sigma : \Sigma\Theta = \Gamma\Sigma : \Sigma H$. uerum $N\Sigma : \Sigma\Theta = N\Gamma : \Gamma\Theta$ et $\Gamma\Sigma : \Sigma H = P\Gamma : PH$ [Eucl. VI, 1]; quare etiam $N\Gamma : \Gamma\Theta = \Gamma P : PH$. et ut unum ad unum, ita omnia ad omnia [Eucl. V, 12]; itaque $N\Gamma : \Gamma\Theta = NA : \Gamma\Theta + PH$. et quoniam est $EB = BH$ [II, 3], erit etiam [Eucl. VI, 2; I, 34] $\Delta B = B\Pi$, $\Delta\Xi = BH$ [Eucl. VI, 1]. est autem $\Delta\Xi = \Gamma\Theta$ [II, 12]; quare etiam $BH = \Gamma\Theta$. itaque

18. ἡ $\Delta\Theta$ — 19. $H\Theta$] om. V; corr. Comm. 22. τὸ $N\Gamma$] τὸν $\bar{\gamma}$ V; corr. pvc. 26. PH] ἡ $\overline{\varrho\eta}$ V; corr. p.

καὶ ΡΗ, τουτέστι τὸ ΡΞ. ἴσον δὲ τὸ ΡΞ τῷ ΛΘ, ἐπεὶ καὶ τὸ ΓΘ τῷ ΒΓ καὶ τὸ ΜΒ τῷ ΞΘ. ἔστιν ἄρα, ὡς τὸ ΝΓ πρὸς τὸ ΓΘ, οὕτως τὸ ΝΛ πρὸς ΛΘ. ἀλλ' ὡς μὲν τὸ ΝΓ πρὸς ΓΘ, ἡ ΝΣ πρὸς ΣΘ, τουτέστιν ἡ ΑΗ πρὸς ΗΘ, ὡς δὲ τὸ ΝΛ πρὸς ΛΘ, ἡ ΝΡ πρὸς ΡΘ, τουτέστιν ἡ ΑΚ πρὸς ΚΘ· καὶ ὡς ἄρα ἡ ΑΚ πρὸς ΚΘ, ἡ ΑΗ πρὸς ΗΘ.

λζ'.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας ἢ τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ ἐπὶ μὲν τὰς ἁφὰς αὐτῶν ἐπιζευχθῇ εὐθεῖα, ἀπὸ δὲ τῆς συμπτώσεως τῶν ἐφαπτομένων διαχθῇ τις τέμνουσα τὴν γραμμὴν κατὰ δύο σημεῖα, ἔσται, ὡς ὅλη πρὸς τὴν ἐκτὸς ἀπολαμβανομένην, τὰ γινόμενα τμήματα ὑπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης.



ἔστω κώνου τομὴ ἡ ΑΒ καὶ ἐφαπτόμεναι αἱ ΑΓ, ΓΒ, καὶ ἐπεζεύχθω ἡ ΑΒ, καὶ διήχθω ἡ ΓΔΕΖ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ΓΖ πρὸς ΓΔ, ἡ ΖΕ πρὸς ΕΔ.

ἤχθωσαν διὰ τῶν Γ, Α διάμετροι τῆς τομῆς αἱ

2. ΒΓ] ΒΘ V; corr. Memus. 13. ἡ ὅλη? 15. τῆς] τῆς ἐπί V; corr. Memus. 18. ΓΖ] ΓΔ V; corr. p (ΖΓ). ΓΔ] ΓΖ V; corr. p.

$N\Gamma : \Gamma\Theta = \varDelta N : BH + PH = \varDelta N : P\Xi$. est autem $P\Xi = \varDelta\Theta$, quoniam etiam $\Gamma\Theta = B\Gamma$ [II, 12] et $MB = \Xi\Theta$. itaque $N\Gamma : \Gamma\Theta = N\varDelta : \varDelta\Theta$. uerum

$N\Gamma : \Gamma\Theta = N\Sigma : \Sigma\Theta$ [Eucl. VI, 1] $= AH : H\Theta$ [Eucl. VI, 2], et

$N\varDelta : \varDelta\Theta = NP : P\Theta$ [Eucl. VI, 1]

$= AK : K\Theta$ [Eucl. VI, 4; V, 12, 16].

ergo etiam $AK : K\Theta = AH : H\Theta$.

XXXVII.

Si duae rectae coni sectionem uel ambitum circuli uel sectiones oppositas contingentes concurrunt, et ad puncta contactus earum recta ducitur, a puncto autem concursus contingentium recta ducitur lineam in duobus punctis secans, erunt, ut tota ad partem extrinsecus abscisam, ita partes a recta puncta contactus coniungenti effectae.



sit coni sectio AB contingentesque $A\Gamma$, ΓB, et ducatur AB, ducaturque $\Gamma\varDelta EZ$. dico, esse

$$\Gamma Z : \Gamma\varDelta = ZE : E\varDelta.$$

per Γ, A diametri sectionis ducantur $\Gamma\Theta$, AK,

Praeter nostras figuras duas habet V alios casus in oppositis repraesentantes.

ΓΘ, ΑΚ, διὰ δὲ τῶν Ζ, Δ παρα τὰς ΑΘ, ΛΓ αἱ ΔΠ, ΖΡ, ΛΖΜ, ΝΔΟ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΛΖΜ τῇ ΞΔΟ, ἔστιν, ὡς ἡ ΖΓ πρὸς ΓΔ, ἡ ΛΖ πρὸς ΞΔ καὶ ἡ ΖΜ πρὸς ΔΟ καὶ ἡ ΛΜ πρὸς ΞΟ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΛΜ πρὸς τὸ ἀπὸ ΞΟ, τὸ ἀπὸ ΖΜ πρὸς τὸ ἀπὸ ΔΟ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΛΜ πρὸς τὸ ἀπὸ ΞΟ, τὸ ΛΜΓ τρίγωνον πρὸς τὸ ΞΓΟ, ὡς δὲ τὸ ἀπὸ ΖΜ πρὸς τὸ ἀπὸ ΟΔ, τὸ ΖΡΜ τρίγωνον πρὸς τὸ ΔΠΟ· καὶ ὡς ἄρα τὸ ΛΓΜ πρὸς τὸ ΞΟΓ, τὸ ΖΡΜ πρὸς τὶ ΔΠΟ, καὶ λοιπὸν τὸ ΛΓΡΖ τετράπλευρον πρὸς λοιπὸν τὸ ΞΓΠΔ. ἴσον δὲ τὸ μὲν ΛΓΡΖ τετράπλευρον τῷ ΑΛΚ τριγώνῳ, τὸ δὲ ΞΓΠΔ τῷ ΑΝΞ· ὡς ἄρα τὸ ἀπὸ ΛΜ προς τὸ ἀπὸ ΞΟ, τὸ ΑΛΚ τρίγωνον πρὸς τὸ ΑΝΞ. ἀλλ' ὡς μὲν τὸ ἀπὸ ΛΜ πρὸς τὸ ἀπο ΞΟ, τὸ ἀπὸ ΖΓ πρὸς τὸ ἀπο ΓΔ, ὡς δὲ τὸ ΑΛΚ πρὸς τὸ ΑΝΞ, τὸ ἀπὸ ΛΑ πρὸς τὸ ἀπὸ ΑΞ καὶ τὸ ἀπὸ ΖΕ πρὸς τὸ ἀπὸ ΕΔ· καὶ ὡς ἄρα τὸ ἀπο ΖΓ πρὸς τὸ ἀπὸ ΓΔ, τὸ ἀπὸ ΖΕ πρὸς τὸ ἀπὸ ΕΔ. καὶ διὰ τοῦτο ὡς ἡ ΖΓ πρὸς ΓΔ, ἡ ΖΕ πρὸς ΔΕ.

λη'.

Τῶν αὐτῶν ὄντων ἐὰν διὰ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἀχθῇ τις εὐθεῖα παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, καὶ διὰ μέσης τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης ἀχθεῖσα εὐθεῖα τέμνῃ τὴν τομὴν κατὰ δύο σημεῖα καὶ τὴν διὰ τῆς συμπτώσεως παράλληλον τῇ τὰς ἁφὰς ἐπιζευγνυούσῃ, ἔσται, ὡς ὅλη ἡ διηγμένη πρὸς τὴν ἐκτὸς ἀπολαμβανομένην μεταξὺ τῆς τομῆς

10. *ΛΓΡΖ*] p, *ΛΓΡΖ* corr. ex *ΛΓΡΞ* m. 1 V. 15. *ΛΜ* — *τὸ ἀπό* (alt.)] om. V; corr. p (*τῆς ΛΜ, τῆς ΞΟ, ἀπὸ τῆς*).

per Z, Δ autem rectis $A\Theta$, $A\Gamma$ parallelae $\Delta\Pi$, ZP, AZM, $N\Delta O$. iam quoniam AZM, $\Xi\Delta O$ parallelae sunt, erit

$Z\Gamma : \Gamma\Delta = AZ : \Xi\Delta$ [Eucl. VI, 4] $= ZM : \Delta O = AM : \Xi O$;

quare etiam $AM^2 : \Xi O^2 = ZM^2 : \Delta O^2$. uerum

$$AM^2 : \Xi O^2 = AM\Gamma : \Xi\Gamma O \text{ [Eucl. VI, 19]},$$

et $ZM^2 : O\Delta^2 = ZPM : \Delta\Pi O$; quare etiam

$A\Gamma M : \Xi O\Gamma = ZPM : \Delta\Pi O = A\Gamma PZ : \Xi\Gamma\Pi\Delta$ [Eucl. V, 19].

uerum $A\Gamma PZ = A\Delta K$, $\Xi\Gamma\Pi\Delta = AN\Xi$ [II, 30; II, 5—6; III, 2; — III, 11]; itaque

$$AM^2 : \Xi O^2 = A\Delta K : AN\Xi.$$

est autem $AM^2 : \Xi O^2 = Z\Gamma^2 : \Gamma\Delta^2$,

$$A\Delta K : AN\Xi = A\Delta^2 : A\Xi^2 \text{ [Eucl. VI, 19]}$$
$$= ZE^2 : E\Delta^2 \text{ [Eucl. VI, 2]};$$

quare etiam $Z\Gamma^2 : \Gamma\Delta^2 = ZE^2 : E\Delta^2$. ergo

$$Z\Gamma : \Gamma\Delta = ZE : \Delta E.$$

XXXVIII.

Iisdem positis si per punctum concursus contingentium recta ducitur rectae puncta contactus coniungenti parallela, rectaque per mediam rectam puncta contactus coniungentem ducta sectionem secat in duobus punctis rectamque per punctum concursus rectae puncta contactus coniungenti parallelam ductam, erunt, ut tota recta ita ducta ad partem extrinsecus inter sectionem parallelamque abscisam, ita partes a recta ad puncta contactus ducta effectae.

καὶ τῆς παραλλήλου, τὰ γινόμενα τμήματα ὑπὸ τῆς ἐπὶ τὰς ἁφὰς ἐπιζευγνυμένης.

ἔστω ἡ ΑΒ τομὴ καὶ αἱ ΑΓ, ΒΓ ἐφαπτόμεναι καὶ ἡ ΑΒ τὰς ἁφὰς ἐπιζευγνύουσα καὶ αἱ ΑΝ, ΓΜ διάμετροι· φανερὸν δή, ὅτι ἡ ΑΒ δίχα τέτμηται κατὰ τὸ Ε.



ἤχθω ἀπὸ τοῦ Γ τῇ ΑΒ παράλληλος ἡ ΓΟ, καὶ διήχθω διὰ τοῦ Ε ἡ ΖΕΔΟ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ΖΟ πρὸς ΟΔ, ἡ ΖΕ πρὸς ΕΔ.

ἤχθωσαν γὰρ ἀπὸ τῶν Ζ, Δ παρὰ τὴν ΑΒ αἱ ΛΖΚΜ, ΔΘΗΞΝ, διὰ δὲ τῶν Ζ, Η παρὰ τὴν ΑΓ αἱ ΖΡ, ΗΠ. ὁμοίως δὴ τοῖς πρότερον δειχθήσεται, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ ΛΜ πρὸς τὸ ἀπὸ ΞΘ, τὸ ἀπὸ ΛΑ πρὸς τὸ ἀπὸ ΑΞ. καί ἐστιν, ὡς μὲν τὸ ἀπὸ ΛΜ πρὸς τὸ ἀπὸ ΞΘ, τὸ ἀπὸ ΛΓ πρὸς τὸ ἀπὸ ΓΞ καὶ τὸ ἀπὸ ΖΟ πρὸς τὸ ἀπὸ ΟΔ, ὡς δὲ τὸ ἀπὸ ΛΑ πρὸς τὸ ἀπὸ ΑΞ, τὸ ἀπὸ ΖΕ πρὸς τὸ ἀπὸ ΕΔ· ὡς ἄρα τὸ ἀπὸ ΖΟ πρὸς τὸ ἀπὸ ΟΔ, τὸ ἀπὸ ΖΕ πρὸς τὸ ἀπὸ ΕΔ, καὶ ὡς ἡ ΖΟ πρὸς ΟΔ, ἡ ΖΕ πρὸς ΕΔ.

λθʹ.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ τῶν ἁφῶν εὐθεῖα ἐκβληθῇ, ἀπὸ δὲ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἀχθεῖσα εὐθεῖα

---

9. ΖΕΟΔ V; corr. p. 13. Ζ] Ξ V; corr. p. 14. ΔΘΗΝΞΝ V; corr. Memus. 20. ΟΔ] ΛΔ V; corr. p. 23. In ΕΔ (alt.) desinit uol. I codicis V (fol. 120).

sit sectio AB, contingentes $A\Gamma$, $B\Gamma$, puncta contactus coniungens AB, diametri AN, ΓM; manifestum igitur, AB in E in duas partes aequales secari [II, 30, 39].

a Γ rectae AB parallela ducatur ΓO, et per E ducatur $ZE\Delta O$. dico, esse $ZO : O\Delta = ZE : E\Delta$.



nam a Z, Δ rectae AB parallelae ducantur ΛZKM, $\Delta\Theta H\Xi N$, per Z, H autem rectae $A\Gamma$ parallelae ZP, $H\Pi$. iam eodem modo, quo antea, demonstrabimus, esse $\Lambda M^2 : \Xi\Theta^2 = A\Lambda^2 : A\Xi^2$ [u. prop. XXXVII]. est autem

$$\Lambda M^2 : \Xi\Theta^2 = \Lambda\Gamma^2 : \Gamma\Xi^2 \text{ [Eucl. VI, 4]}$$
$$= ZO^2 : O\Delta^2 \text{ [Eucl. VI, 2]},$$

et $A\Lambda^2 : A\Xi^2 = ZE^2 : E\Delta^2$ [Eucl. VI, 2]; itaque $ZO^2 : O\Delta^2 = ZE^2 : E\Delta^2$ et $ZO : O\Delta = ZE : E\Delta$.

XXXIX.

Si duae rectae oppositas contingentes concurrunt, et per puncta contactus recta ducitur, a puncto autem concursus contingentium ducta recta utramque sectio-

In V figura 2 minus adcurate descripta est; V praeterea tertiam figuram oppositarum habet.

τέμνῃ ἑκατέραν τῶν τομῶν καὶ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, ἔσται, ὡς ὅλη ἡ διηγμένη πρὸς τὴν ἐκτὸς ἀπολαμβανομένην μεταξὺ τῆς τομῆς καὶ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης, οὕτως τὰ γινόμενα τμήματα τῆς εὐθείας ὑπὸ τῶν τομῶν καὶ τῆς συμπτώσεως τῶν ἐφαπτομένων.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, ὧν κέντρον τὸ Γ, ἐφαπτόμεναι δὲ αἱ ΑΔ, ΔΒ, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΒ, ΓΔ ἐκβεβλήσθωσαν, καὶ διὰ τοῦ Δ διήχθω τις εὐθεῖα ἡ ΕΔΖΗ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ΕΗ πρὸς ΗΖ, ἡ ΕΔ πρὸς ΔΖ.

ἐπεζεύχθω γὰρ ἡ ΑΓ καὶ ἐκβεβλήσθω, καὶ διὰ τῶν Ε, Ζ παρὰ μὲν τὴν ΑΒ ἤχθωσαν αἱ ΕΘΣ, ΖΛΜΝΞΟ, παρὰ δὲ τὴν ΑΔ αἱ ΕΠ, ΖΡ.

ἐπεὶ οὖν παράλληλοί εἰσιν αἱ ΖΞ, ΕΣ καὶ διηγμέναι εἰς αὐτὰς αἱ ΕΖ, ΞΣ, ΘΜ, ἔστιν, ὡς ἡ ΕΘ πρὸς ΘΣ, ἡ ΖΜ πρὸς ΜΞ. καὶ ἐναλλάξ, ὡς ἡ ΕΘ πρὸς ΖΜ, ἡ ΘΣ πρὸς ΞΜ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΜΖ, τὸ ἀπὸ ΘΣ πρὸς τὸ ἀπὸ ΞΜ. ἀλλʼ ὡς μὲν τὸ ἀπὸ ΕΘ πρὸς τὸ ἀπὸ ΜΖ, τὸ ΕΘΠ τρίγωνον πρὸς τὸ ΖΡΜ, ὡς δὲ τὸ ἀπὸ ΘΣ πρὸς τὸ ἀπὸ ΞΜ, τὸ ΔΘΣ τρίγωνον πρὸς τὸ ΞΜΔ· καὶ ὡς ἄρα τὸ ΕΘΠ πρὸς τὸ ΖΡΜ, τὸ ΔΘΣ πρὸς τὸ ΞΜΔ. ἴσον δὲ τὸ μὲν ΕΘΠ τοῖς ΑΣΚ, ΘΔΣ, τὸ δὲ ΡΜΖ τοῖς ΑΞΝ, ΔΜΞ· ὡς ἄρα τὸ ΔΘΣ πρὸς τὸ ΞΜΔ, τὸ ΑΣΚ μετὰ τοῦ ΘΔΣ πρὸς τὸ ΑΞΝ μετὰ τοῦ ΞΜΔ, καὶ λοιπὸν τὸ ΑΣΚ πρὸς λοιπὸν τὸ ΑΝΞ ἐστιν, ὡς τὸ ΔΣΘ πρὸς τὸ ΔΞΜ. ἀλλʼ ὡς μὲν τὸ

4. τῆς] ὑπὸ τῆς V; ἐπὶ τῆς p; corr. Memus. 8. Δ] Ε V; corr. Memus. 12. ΞΛΜΝΞΟ V; corr. p. 16. ΖΜ] ΞΜ V; corr. p. 24. ΑΞΝ] ΑΞΜ V; corr. Memus. 26. τό] (pr.) ego; ὡς τό V; ἄρα τό Halley.

nem rectamque puncta contactus coniungentem secat, erunt, ut tota recta ita ducta ad partem extrinsecus inter sectionem rectamque puncta contactus coniungentem abscisam, ita partes rectae a sectionibus punctoque concursus contingentium effectae.



sint oppositae A, B, quarum centrum sit Γ, contingentes autem $A\Delta$, ΔB, et ductae AB, $\Gamma\Delta$ producantur, per Δ autem ducatur recta aliqua $E\Delta ZH$. dico, esse

$$EH : HZ = E\Delta : \Delta Z.$$

ducatur enim $A\Gamma$ et producatur, et per E, Z rectae AB parallelae ducantur $E\Theta\Sigma$, $Z\Lambda MN\Xi O$, rectae autem $A\Delta$ parallelae $E\Pi$, ZP.

iam quoniam parallelae sunt $Z\Xi$, $E\Sigma$, et in eas incidunt EZ, $\Xi\Sigma$, ΘM, erit [Eucl. VI, 4] $E\Theta : \Theta\Sigma = ZM : M\Xi$. et permutando [Eucl. V, 16] $E\Theta : ZM = \Theta\Sigma : \Xi M$; quare etiam $\Theta E^2 : MZ^2 = \Theta\Sigma^2 : \Xi M^2$. est autem [Eucl. VI, 19]

$E\Theta^2 : MZ^2 = E\Theta\Pi : ZPM$, $\Theta\Sigma^2 : \Xi M^2 = \Delta\Theta\Sigma : \Xi M\Delta$; itaque etiam $E\Theta\Pi : ZPM = \Delta\Theta\Sigma : \Xi M\Delta$. est autem $E\Theta\Pi = A\Sigma K + \Theta\Delta\Sigma$, $PMZ = A\Xi N + \Delta M\Xi$ [prop. XI]; itaque

$$\Delta\Theta\Sigma : \Xi M\Delta = A\Sigma K + \Theta\Delta\Sigma : A\Xi N + \Xi M\Delta$$

et [Eucl. V, 19] $A\Sigma K : AN\Xi = \Delta\Sigma\Theta : \Delta\Xi M$. est autem

ΛΣΚ πρὸς τὸ ΛΝΞ, τὸ ἀπὸ ΚΛ πρὸς τὸ ἀπὸ ΛΝ, τουτέστι τὸ ἀπὸ ΕΗ πρὸς τὸ ἀπὸ ΖΗ, ὡς δὲ τὸ ΔΘΣ πρὸς τὸ ΞΔΜ, τὸ ἀπὸ ΘΔ πρὸς τὸ ἀπὸ ΔΜ, τουτέστι τὸ ἀπὸ ΕΔ πρὸς τὸ ἀπὸ ΔΖ. καὶ ὡς ἄρα ἡ ΕΗ πρὸς ΗΖ, ἡ ΕΔ πρὸς ΔΖ.

μ'.

Τῶν αὐτῶν ὄντων ἐὰν διὰ τῆς συμπτώσεως τῶν ἐφαπτομένων ἀχθῇ εὐθεῖα παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, καὶ ἀπὸ μέσης τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης ἀχθεῖσα εὐθεῖα τέμνῃ ἑκατέραν τῶν τομῶν καὶ τὴν παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, ἔσται, ὡς ὅλη ἡ διηγμένη πρὸς τὴν ἐκτὸς ἀπολαμβανομένην μεταξὺ τῆς παραλλήλου καὶ τῆς τομῆς, οὕτως τὰ γινόμενα τμήματα τῆς εὐθείας ὑπὸ τῶν τομῶν καὶ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης.

ἔστωσαν ἀντικείμεναι αἱ Α, Β, ὧν κέντρον τὸ Γ, ἐφαπτόμεναι δὲ αἱ ΑΔ, ΔΒ, καὶ ἐπεζεύχθω ἡ ΑΒ καὶ ἡ ΓΔΕ· ἴση ἄρα ἡ ΑΕ τῇ ΕΒ. καὶ ἀπὸ μὲν τοῦ Δ παρὰ τὴν ΑΒ ἤχθω ἡ ΖΔΗ, ἀπὸ δὲ τοῦ Ε, ὡς ἔτυχεν, ἡ ΛΕ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ΘΛ πρὸς ΛΚ, ἡ ΘΕ πρὸς ΕΚ.

ἤχθωσαν ἀπὸ τῶν Θ, Κ παρὰ μὲν τὴν ΑΒ αἱ ΝΜΘΞ, ΚΟΠ, παρὰ δὲ τὴν ΑΔ αἱ ΘΡ, ΚΣ, καὶ διήχθω ἡ ΞΑΓΤ.

ἐπεὶ οὖν εἰς παραλλήλους τὰς ΞΜ, ΚΠ διηγμέναι εἰσὶν αἱ ΞΑΥ, ΜΑΠ, ἔστιν, ὡς ἡ ΞΑ πρὸς ΑΥ, ἡ ΜΑ πρὸς ΑΠ. ἀλλ' ὡς ἡ ΞΑ πρὸς ΑΥ, ἡ ΘΕ

20. *ΛΕ*] ego; *ΔΕ* V; *ΘΕΚΛ* Halley cum Memo. 23. *ΝΜΘΞ*] *ΘΜΝΞ* V; corr. p (*ΞΘΜΝ*). 24. *ΞΑΓΤ*] *ΑΓΞΤ* V; corr. p. 26. *ΜΑΠ*] *ΜΑΓ* V; corr. p. 27. *ΜΑ*] *ΜΔ* V; corr. p.

$$\Lambda \Sigma K : \Lambda N \Xi = K\Lambda^2 : \Lambda N^2 \text{ [Eucl. VI, 19]}$$
$$= EH^2 : ZH^2 \text{ [Eucl. VI, 2; VI, 4; V, 12; V, 16]},$$

et

$$\Delta \Theta \Sigma : \Xi \Delta M = \Theta \Delta^2 : \Delta M^2 \text{ [Eucl. VI, 19]}$$
$$= E\Delta^2 : \Delta Z^2 \text{ [Eucl. VI, 4]}.$$

ergo etiam $EH : HZ = E\Delta : \Delta Z$.

XL.

Iisdem positis si per punctum concursus contingentium recta ducitur rectae puncta contactus coniungenti parallela, et recta a media recta puncta contactus coniungenti ducta utramque sectionem secat rectamque rectae puncta contactus coniungenti parallelam, erunt, ut tota recta ita ducta ad partem extrinsecus inter parallelam sectionemque abscisam, ita partes rectae a sectionibus rectaque puncta contactus coniungenti effectae.

sint oppositae A, B, quarum centrum sit Γ, contingentes autem $A\Delta$, ΔB, et ducantur AB et $\Gamma\Delta E$;



itaque $AE = EB$ [II, 39]. et a Δ rectae AB parallela ducatur $Z\Delta H$, ab E autem quoquo modo ΛE dico, esse $\Theta\Lambda : \Lambda K = \Theta E : EK$.

πρὸς ΕΚ· ὡς δὲ ἡ ΘΕ πρὸς ΕΚ, ἡ ΘΝ πρὸς ΚΟ διὰ τὴν ὁμοιότητα τῶν ΘΕΝ, ΚΕΟ τριγώνων· ὡς ἄρα ἡ ΘΝ πρὸς ΚΟ, ἡ ΜΑ πρὸς ΑΠ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΘΝ πρὸς τὸ ἀπὸ ΚΟ, τὸ ἀπὸ ΜΑ πρὸς τὸ ἀπὸ ΑΠ. ἀλλ' ὡς μὲν το ἀπὸ ΘΝ πρὸς τὸ ἀπὸ ΟΚ, τὸ ΘΡΝ τρίγωνον πρὸς τὸ ΚΣΟ, ὡς δὲ τὸ ἀπὸ ΜΑ πρὸς τὸ ἀπὸ ΑΠ, τὸ ΞΜΑ τρίγωνον πρὸς τὸ ΑΥΠ· καὶ ὡς ἄρα τὸ ΘΝΡ πρὸς τὸ ΚΟΣ, τὸ ΞΜΑ πρὸς τὸ ΑΥΠ. ἴσον δὲ τὸ ΘΝΡ τοῖς ΞΑΜ, ΜΝΔ, τὸ δὲ ΣΟΚ τοῖς ΑΥΠ, ΔΟΠ· καὶ ὡς ἄρα τὸ ΞΜΑ μετὰ τοῦ ΜΝΔ τριγώνου πρὸς τὸ ΑΥΠ τρίγωνον μετὰ τοῦ ΠΔΟ τριγώνου, οὕτως τὸ ΞΜΑ τρίγωνον πρὸς τὸ ΠΥΑ τρίγωνον· καὶ λοιπὸν ἄρα τὸ ΝΜΔ πρὸς λοιπὸν τὸ ΔΟΠ τρίγωνόν ἐστιν, ὡς ὅλον πρὸς ὅλον. ἀλλ' ὡς τὸ ΞΜΑ τρίγωνον πρὸς τὸ ΑΥΠ τρίγωνον, τὸ ἀπὸ ΞΑ πρὸς τὸ ἀπὸ ΑΥ, ὡς δὲ τὸ ΜΔΝ πρὸς τὸ ΠΔΟ, τὸ ἀπὸ ΜΝ πρὸς τὸ ἀπὸ ΠΟ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΜΝ πρὸς τὸ ἀπὸ ΠΟ, τὸ ἀπὸ ΞΑ πρὸς τὸ ἀπὸ ΑΥ. ὡς δὲ τὸ ἀπὸ ΜΝ πρὸς τὸ ἀπὸ ΠΟ, τὸ ἀπὸ ΝΔ πρὸς τὸ ἀπὸ ΟΔ, ὡς δὲ τὸ ἀπὸ ΞΑ πρὸς τὸ ἀπὸ ΑΥ, τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΕΚ, ὡς δὲ τὸ ἀπὸ ΝΔ πρὸς τὸ ἀπὸ ΔΟ, τὸ ἀπὸ ΘΔ πρὸς τὸ ἀπὸ ΔΚ· καὶ ὡς ἄρα τὸ ἀπὸ ΘΕ πρὸς τὸ ἀπὸ ΕΚ, τὸ ἀπὸ ΘΔ πρὸς τὸ ἀπὸ ΔΚ. ἔστιν ἄρα, ὡς ἡ ΘΕ πρὸς ΕΚ, ἡ ΘΔ πρὸς ΔΚ.

μαʹ.

Ἐὰν παραβολῆς τρεῖς εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσιν ἀλλήλαις, εἰς τὸν αὐτὸν λόγον τμηθήσονται.

---

4. πρός] (alt.) bis V; corr. pc. 8. τὸ ΞΜΑ] om. V; corr. p. 13. ΞΝΜΔ V; corr. p (ΜΝΔ). 25. ΘΕ] cp, Ε obscurum in V; ΘΣ v.

a Θ, K rectae AB parallelae ducantur $NM\Theta\Xi$, $KO\Pi$, rectae autem $A\Delta$ parallelae ΘP, $K\Sigma$, et ducatur $\Xi A\Gamma T$.

quoniam igitur in parallelas ΞM, $K\Pi$ incidunt $\Xi A\Upsilon$, $MA\Pi$, erit [Eucl. VI, 4] $\Xi A : A\Upsilon = MA : A\Pi$. uerum $\Xi A : A\Upsilon = \Theta E : EK$ [Eucl. VI, 2]; et

$$\Theta E : EK = \Theta N : KO$$

propter similitudinem triangulorum ΘEN, KEO [Eucl. VI, 4]; itaque $\Theta N : KO = MA : A\Pi$. quare etiam $\Theta N^2 : KO^2 = MA^2 : A\Pi^2$. uerum $\Theta N^2 : OK^2 = \Theta PN : K\Sigma O$, $MA^2 : A\Pi^2 = \Xi MA : A\Upsilon\Pi$ [Eucl. VI, 19]; itaque etiam $\Theta NP : KO\Sigma = \Xi MA : A\Upsilon\Pi$. est autem [prop. XI] $\Theta NP = \Xi AM + MN\Delta$ et $\Sigma OK = A\Upsilon\Pi + \Delta O\Pi$; quare etiam

$$\Xi MA + MN\Delta : A\Upsilon\Pi + \Pi\Delta O = \Xi MA : \Pi\Upsilon A.$$

itaque etiam [Eucl. V, 19] $NM\Delta : \Delta O\Pi$, ut totum ad totum. est autem

$\Xi MA : A\Upsilon\Pi = \Xi A^2 : A\Upsilon^2$, $M\Delta N : \Pi\Delta O = MN^2 : \Pi O^2$ [Eucl. VI, 19]; quare etiam $MN^2 : \Pi O^2 = \Xi A^2 : A\Upsilon^2$. uerum

$$MN^2 : \Pi O^2 = N\Delta^2 : O\Delta^2 \text{ [Eucl. VI, 4]},$$

$$\Xi A^2 : A\Upsilon^2 = \Theta E^2 : EK^2 \text{ [Eucl. VI, 2]},$$

$N\Delta^2 : \Delta O^2 = \Theta\Delta^2 : \Delta K^2$ [Eucl. VI, 4; VI, 2; V, 12; V, 16]; itaque etiam $\Theta E^2 : EK^2 = \Theta\Delta^2 : \Delta K^2$. ergo

$$\Theta E : EK = \Theta\Delta : \Delta K.$$

XLI.

Si tres rectae parabolam contingentes inter se concurrunt, secundum eandem rationem secabuntur.

ἔστω παραβολὴ ἡ ΑΒΓ, ἐφαπτόμεναι δὲ αἱ ΑΔΕ, ΕΖΓ, ΔΒΖ. λέγω, ὅτι ἐστίν, ὡς ἡ ΓΖ πρὸς ΖΕ, ἡ ΕΔ πρὸς ΔΑ καὶ ἡ ΖΒ πρὸς ΒΔ.

ἐπεζεύχθω γὰρ ἡ ΑΓ καὶ τετμήσθω δίχα κατὰ τὸ Η.

ὅτι μὲν οὖν ἡ ἀπὸ τοῦ Ε ἐπὶ τὸ Η διάμετρός ἐστι τῆς τομῆς, φανερόν.

εἰ μὲν οὖν διὰ τοῦ Β ἔρχεται, παράλληλός ἐστιν ἡ ΔΖ τῇ ΑΓ καὶ δίχα τμηθήσεται κατὰ τὸ Β ὑπὸ τῆς ΕΗ, καὶ διὰ τοῦτο ἴση ἔσται ἡ ΑΔ τῇ ΔΕ καὶ ἡ ΓΖ τῇ ΖΕ, καὶ φανερὸν τὸ ζητούμενον.

μὴ ἐρχέσθω διὰ τοῦ Β, ἀλλὰ διὰ τοῦ Θ, καὶ ἤχθω διὰ τοῦ Θ παρὰ τὴν ΑΓ ἡ ΚΘΛ· ἐφάψεται ἄρα τῆς τομῆς κατὰ τὸ Θ, καὶ διὰ τὰ εἰρημένα ἴση ἔσται ἡ ΑΚ τῇ ΚΕ καὶ ἡ ΛΓ τῇ ΛΕ. ἤχθω διὰ μὲν τοῦ Β παρὰ τὴν ΕΗ ἡ ΜΝΒΞ, διὰ δὲ τῶν Α, Γ παρὰ τὴν ΔΖ αἱ ΑΟ, ΓΠ. ἐπεὶ οὖν παράλληλός ἐστιν ἡ ΜΒ τῇ ΕΘ, διάμετρός ἐστιν ἡ ΜΒ· καὶ ἐφάπτεται κατὰ τὸ Β ἡ ΔΖ· κατηγμέναι ἄρα εἰσὶν αἱ ΑΟ, ΓΠ. καὶ ἐπεὶ διάμετρός ἐστιν ἡ ΜΒ, ἐφαπτομένη δὲ ἡ ΓΜ, κατηγμένη δὲ ἡ ΓΠ, ἴση ἔσται ἡ ΜΒ τῇ ΒΠ· ὥστε καὶ ἡ ΜΖ τῇ ΖΓ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΜΖ τῇ ΖΓ καὶ ἡ ΕΛ τῇ ΛΓ, ἔστιν, ὡς ἡ ΜΓ πρὸς ΓΖ, ἡ ΕΓ πρὸς ΓΛ· καὶ ἐναλλάξ, ὡς ἡ ΜΓ πρὸς ΓΕ, ἡ ΖΓ πρὸς ΓΛ. ἀλλ' ὡς ἡ ΜΓ πρὸς ΓΕ, ἡ ΞΓ πρὸς ΓΗ· καὶ ὡς ἄρα ἡ ΖΓ πρὸς ΓΛ, ἡ ΞΓ πρὸς ΓΗ. ὡς δὲ ἡ ΗΓ πρὸς ΓΛ, ἡ ΑΓ πρὸς ΓΕ [διπλασία γὰρ ἑκατέρα]· δι' ἴσου ἄρα, ὡς ἡ ΑΓ πρὸς ΓΞ, ἡ ΕΓ πρὸς ΓΖ,

---

13. ΚΘΛ] ΘΚΛ V; corr. p. 20. Post ΜΒ del. m. 1 τῇ ΕΘ διάμετρός ἐστιν ἡ ΜΒ V. 21. ἔσται] bis V; corr. pvc. 27. διπλασία γὰρ ἑκατέρα] deleo.

sit parabola $AB\Gamma$, contingentes autem $A\Delta E$, $EZ\Gamma$, ΔBZ. dico, esse $\Gamma Z : ZE = E\Delta : \Delta A = ZB : B\Delta$.

ducatur enim $A\Gamma$ et in H in duas partes aequales secetur.

iam rectam ab E ad H ductam diametrum esse sectionis, manifestum est [II, 29].

iam si ea per B cadit, ΔZ rectae $A\Gamma$ parallela erit [II, 5] et ad B ab EH in duas partes aequales secabitur [Eucl. VI, 4], qua de causa erit $A\Delta = \Delta E$, $\Gamma Z = ZE$ [I, 35; Eucl. VI, 2], et manifestum est, quod quaerimus.



iam ne cadat per B, sed per Θ, et per Θ rectae $A\Gamma$ parallela ducatur $K\Theta\Lambda$; ea igitur sectionem continget in Θ [I, 32], et propter ea, quae diximus, erit $AK = KE$, $\Lambda\Gamma = \Lambda E$. iam per B rectae EH parallela ducatur $MNB\Xi$, per A, Γ autem rectae ΔZ parallelae AO, $\Gamma\Pi$. quoniam igitur MB, $E\Theta$ parallelae sunt, diametrus est MB [I, 51 coroll.]; et ΔZ in B contingit; itaque AO, $\Gamma\Pi$ ordinate ductae sunt [I def. 4]. et quoniam MB diametrus est, contingens ΓM, ordinate ducta $\Gamma\Pi$, erit $MB = B\Pi$ [I, 35]; quare etiam $MZ = Z\Gamma$ [Eucl. VI, 2]. et quoniam est $MZ = Z\Gamma$, $E\Lambda = \Lambda\Gamma$, erit

$$M\Gamma : \Gamma Z = E\Gamma : \Gamma\Lambda$$

et permutando [Eucl. V, 16] $M\Gamma : \Gamma E = Z\Gamma : \Gamma\Lambda$.

καὶ ἀναστρέψαντι, ὡς ἡ $ΕΓ$ πρὸς $ΕΖ$, ἡ $ΓΑ$ πρὸς $ΑΞ$· διελόντι, ὡς ἡ $ΓΖ$ πρὸς $ΖΕ$, ἡ $ΓΞ$ πρὸς $ΞΑ$. πάλιν ἐπεὶ διάμετρός ἐστιν ἡ $ΜΒ$ καὶ ἐφαπτομένη ἡ $ΑΝ$ καὶ κατηγμένη ἡ $ΑΟ$, ἴση ἐστὶν ἡ $ΝΒ$ τῇ $ΒΟ$ καὶ ἡ $ΝΔ$ τῇ $ΔΑ$. ἔστι δὲ καὶ ἡ $ΕΚ$ τῇ $ΚΑ$· ὡς ἄρα ἡ $ΑΕ$ πρὸς $ΑΚ$, ἡ $ΝΑ$ πρὸς $ΑΔ$· ἐναλλάξ, ὡς ἡ $ΕΑ$ πρὸς $ΑΝ$, ἡ $ΚΑ$ πρὸς $ΑΔ$. ἀλλ' ὡς ἡ $ΕΑ$ πρὸς $ΑΝ$, ἡ $ΗΑ$ πρὸς $ΑΞ$· καὶ ὡς ἄρα ἡ $ΚΑ$ πρὸς $ΑΔ$, ἡ $ΗΑ$ πρὸς $ΑΞ$. ἔστι δὲ καί, ὡς ἡ $ΓΑ$ πρὸς $ΑΗ$, ἡ $ΕΑ$ πρὸς $ΑΚ$ [διπλασία γὰρ ἑκατέρα ἑκατέρας]· δι' ἴσου ἄρα, ὡς ἡ $ΓΑ$ πρὸς $ΑΞ$, ἡ $ΕΑ$ πρὸς $ΑΔ$· διελόντι, ὡς ἡ $ΓΞ$ πρὸς $ΞΑ$, ἡ $ΕΔ$ πρὸς $ΔΑ$. ἐδείχθη δὲ καί, ὡς ἡ $ΓΞ$ πρὸς $ΑΞ$, ἡ $ΓΖ$ πρὸς $ΖΕ$· ὡς ἄρα ἡ $ΓΖ$ πρὸς $ΖΕ$, ἡ $ΕΔ$ πρὸς $ΑΔ$. πάλιν ἐπεί ἐστιν, ὡς ἡ $ΓΞ$ πρὸς $ΞΑ$, ἡ $ΓΠ$ πρὸς $ΑΟ$, καί ἐστιν ἡ μὲν $ΓΠ$ τῆς $ΒΖ$ διπλῆ, ἐπεὶ καὶ ἡ $ΓΜ$ τῆς $ΜΖ$, ἡ δὲ $ΑΟ$ τῆς $ΒΔ$, ἐπεὶ καὶ ἡ $ΑΝ$ τῆς $ΝΔ$, ὡς ἄρα ἡ $ΓΞ$ πρὸς $ΞΑ$, ἡ $ΖΒ$ πρὸς $ΒΔ$ καὶ ἡ $ΓΖ$ πρὸς $ΖΕ$ καὶ ἡ $ΕΔ$ πρὸς $ΔΑ$.

μβ'.

Ἐαν ἐν ὑπερβολῇ ἢ ἐλλείψει ἢ κύκλου περιφερείᾳ ἢ ταῖς ἀντικειμέναις ἀπ' ἄκρας τῆς διαμέτρου ἀχθῶσι παρὰ τεταγμένως κατηγμένην, ἄλλη δέ τις, ὡς ἔτυχεν, ἀχθῇ ἐφαπτομένη, ἀποτεμεῖ ἀπ' αὐτῶν εὐθείας ἴσον περιεχούσας τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ αὐτῇ διαμέτρῳ εἴδους.

ἔστω γάρ τις τῶν προειρημένων τομῶν, ἧς διάμετρος ἡ $ΑΒ$, καὶ ἀπὸ τῶν $Α$, $Β$ ἤχθωσαν παρα

---

1. $ΑΞ$] vc, corr. ex $ΑΓ$ m. 1 V. 10. διπλασία — ἑκατέρας] deleo. 21. ἐν] om. V; corr. p.

uerum $M\Gamma : \Gamma E = \Xi\Gamma : \Gamma H$ [Eucl. VI, 4]; itaque etiam $Z\Gamma : \Gamma\Delta = \Xi\Gamma : \Gamma H$. est autem

$$H\Gamma : \Gamma\Delta = \Delta\Gamma : \Gamma E;$$

nam utraque duplo maior est; ex aequo igitur [Eucl. V, 22] $\Delta\Gamma : \Gamma\Xi = E\Gamma : \Gamma Z$, et conuertendo [Eucl. V, 19 coroll.] $E\Gamma : EZ = \Gamma\Delta : \Delta\Xi$; dirimendo [Eucl. V, 17]

$$\Gamma Z : ZE = \Gamma\Xi : \Xi\Delta.$$

rursus quoniam diametrus est MB, contingens AN, ordinate ducta AO, erit $NB = BO$ [I, 35] et [Eucl. VI, 2] $N\Delta = \Delta A$. est autem etiam $EK = KA$; quare $AE : AK = NA : A\Delta$, et permutando [Eucl. V, 16] $EA : AN = KA : A\Delta$. est autem $EA : AN = HA : A\Xi$ [Eucl. VI, 4]; quare etiam $KA : A\Delta = HA : A\Xi$. est autem etiam $\Gamma A : AH = EA : AK$; nam utraque duplo maior est utraque; itaque ex aequo $\Gamma A : A\Xi = EA : A\Delta$ [Eucl. V, 22]; dirimendo [Eucl. V, 17] $\Gamma\Xi : \Xi A = E\Delta : \Delta A$. demonstrauimus autem etiam, esse $\Gamma\Xi : \Delta\Xi = \Gamma Z : ZE$; itaque $\Gamma Z : ZE = E\Delta : A\Delta$. rursus quoniam est $\Gamma\Xi : \Xi A = \Gamma\Pi : AO$ [Eucl. VI, 4; V, 16], et $\Gamma\Pi = 2BZ$ [Eucl. VI, 4], quoniam etiam $\Gamma M = 2MZ$, et $AO = 2B\Delta$ [Eucl. VI, 4], quoniam etiam $AN = 2N\Delta$, erit

$$\Gamma\Xi : \Xi A = ZB : B\Delta = \Gamma Z : ZE = E\Delta : \Delta A.$$

XLII.

Si in hyperbola uel ellipsi uel circulo uel oppositis a terminis diametri rectae ducuntur rectae ordinate ductae parallelae, alia autem aliqua quoquo modo contingens ducitur, haec ab illis rectas abscindet rectangulum comprehendentes aequale quartae parti figurae eidem diametro adplicatae.

sit enim aliqua sectionum, quas diximus, cuius τεταγμένως κατηγμένην αἱ ΑΓ, ΔΒ, ἄλλη δέ τις ἐφαπτέσθω κατὰ τὸ Ε ἡ ΓΕΔ. λέγω, ὅτι τὸ ὑπὸ ΑΓ, ΒΔ ἴσον ἐστὶ τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ ΑΒ εἴδους.

ἔστω γὰρ κέντρον τὸ Ζ, καὶ δι᾿ αὐτοῦ ἤχθω παρὰ τὰς ΑΓ, ΒΔ ἡ ΖΗΘ. ἐπεὶ οὖν αἱ ΑΓ, ΒΔ παράλληλοί εἰσιν, ἔστι δὲ καὶ ἡ ΖΗ παράλληλος, συζυγὴς



ἄρα διάμετρός ἐστι τῇ ΑΒ· ὥστε τὸ ἀπὸ ΖΗ ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΑΒ εἴδους.

εἰ μὲν οὖν ἡ ΖΗ ἐπὶ τῆς ἐλλείψεως καὶ τοῦ κύκλου διὰ τοῦ Ε ἔρχεται, ἴσαι γίνονται αἱ ΑΓ, ΖΗ, ΒΔ, καὶ φανερὸν αὐτόθεν, ὅτι τὸ ὑπὸ ΑΓ, ΒΔ ἴσον ἐστὶ τῷ ἀπὸ ΖΗ, τουτέστι τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΑΒ εἴδους.

μὴ ἐρχέσθω δή, καὶ συμπιπτέτωσαν αἱ ΔΓ, ΒΑ ἐκβαλλόμεναι κατὰ τὸ Κ, καὶ διὰ τοῦ Ε παρὰ μὲν τὴν ΑΓ ἤχθω ἡ ΕΛ, παρὰ δὲ τὴν ΑΒ ἡ ΕΜ. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ὑπὸ ΚΖΛ τῷ ἀπὸ ΑΖ, ἔστιν, ὡς ἡ ΚΖ πρὸς ΖΑ, ἡ ΖΑ πρὸς ΖΛ, καὶ ἡ ΚΑ πρὸς ΑΛ ἐστιν, ὡς ἡ ΚΖ πρὸς ΖΑ, τουτέστι πρὸς ΖΒ·

20. ἐστιν] scripsi, ἔστι δέ Vp. ΖΑ] pcv, Α e corr. m. 1 V. ΖΒ] pcv; Β e corr. m. 1 V.

diametrus sit AB, et ab A, B rectae ordinate ductae parallelae ducantur $A\Gamma$, ΔB, alia autem recta $\Gamma E\Delta$ in E contingat. dico, $A\Gamma \times B\Delta$ quartae parti figurae ad AB adplicatae aequale esse.

sit enim centrum Z, et per id rectis $A\Gamma$, $B\Delta$ parallela ducatur $ZH\Theta$. quoniam igitur $A\Gamma$, $B\Delta$



parallelae sunt, et etiam ZH iis parallela est, diametrus est coniugata cum AB [I def. 6]; quare ZH^2 quartae parti figurae ad AB adplicatae aequale est [I deff. alt. 3].

iam si in ellipsi circuloque ZH per E cadit, erit $A\Gamma = ZH = B\Delta$, et statim adparet, esse

$$A\Gamma \times B\Delta = ZH^2,$$

hoc est quartae parti figurae ad AB adplicatae aequale.

iam per E ne cadat, et $\Delta\Gamma$, BA productae concurrant in K, per E autem rectae $A\Gamma$ parallela ducatur $E\Lambda$ et rectae AB parallela EM. iam quoniam est [I, 37] $KZ \times Z\Lambda = AZ^2$, erit $KZ : ZA = ZA : Z\Lambda$ [Eucl. VI, 17] et

$$KA : A\Lambda = KZ : ZA \text{ [Eucl. V, 12; — V, 19 coroll.; V, 16]}$$
$$= KZ : ZB.$$

ἀνάπαλιν, ὡς ἡ ΒΖ πρὸς ΖΚ, ἡ ΛΑ πρὸς ΑΚ· συνθέντι ἢ διελόντι, ὡς ἡ ΒΚ πρὸς ΚΖ, ἡ ΛΚ πρὸς ΚΑ. καὶ ὡς ἄρα ἡ ΔΒ πρὸς ΖΘ, ἡ ΕΛ πρὸς ΓΛ. τὸ ἄρα ὑπὸ ΔΒ, ΓΛ ἴσον ἐστὶ τῷ ὑπὸ ΖΘ, ΕΛ, τουτέστι τῷ ὑπὸ ΘΖΜ. τὸ δὲ ὑπὸ ΘΖΜ ἴσον ἐστὶ τῷ ἀπὸ ΖΗ, τουτέστι τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΑΒ εἴδους· καὶ τὸ ὑπὸ ΔΒ, ΓΛ ἄρα ἴσον ἐστὶ τῷ τετάρτῳ τοῦ πρὸς τῇ ΑΒ εἴδους.

μγʹ.

Ἐὰν ὑπερβολῆς εὐθεῖα ἐπιψαύῃ, ἀποτεμεῖ ἀπὸ τῶν ἀσυμπτώτων πρὸς τῷ κέντρῳ τῆς τομῆς εὐθείας ἴσον περιεχούσας τῷ περιεχομένῳ ὑπὸ τῶν ἀποτεμνομένων εὐθειῶν ὑπὸ τῆς ἐφαπτομένης κατὰ τὴν πρὸς τῷ ἄξονι κορυφὴν τῆς τομῆς.

ἔστω ὑπερβολὴ ἡ ΑΒ, ἀσύμπτωτοι δὲ αἱ ΓΔΕ, ἄξων δὲ ὁ ΒΔ, καὶ ἤχθω διὰ τοῦ Β ἐφαπτομένη ἡ ΖΒΗ, ἄλλη δέ τις, ὡς ἔτυχεν, ἐφαπτομένη ἡ ΓΑΘ. λέγω, ὅτι τὸ ὑπὸ ΖΔΗ ἴσον ἐστὶ τῷ ὑπὸ ΓΔΘ.



ἤχθωσαν γὰρ ἀπὸ τῶν Α, Β παρὰ μὲν τὴν ΔΗ αἱ ΑΚ, ΒΛ, παρὰ δὲ τὴν ΓΔ αἱ ΑΜ, ΒΝ. ἐπεὶ οὖν ἐφάπτεται ἡ ΓΑΘ, ἴση ἡ ΓΑ τῇ ΑΘ· ὥστε ἡ ΓΘ τῆς ΘΑ διπλῆ καὶ ἡ ΓΔ τῆς ΑΜ καὶ ἡ ΔΘ τῆς ΑΚ. τὸ ἄρα ὑπὸ ΓΔΘ τετραπλάσιόν ἐστι τοῦ ὑπὸ ΚΑΜ. ὁμοίως δὴ δειχθήσεται

1. ἡ] (pr.) om. V; corr. p. 10. ἀποτεμεῖ] cp, supra add. η m. 1 V. ἀπὸ τῶν] bis V; corr. pc. 16. ἄξων] pcv, ξ e corr. m. 1 V. 17. ΖΒΗ] ΒΖΗ V; corr. p.

e contrario [Eucl. V, 7 coroll.] $BZ : ZK = AA : AK$. componendo [Eucl. V, 18] uel dirimendo [Eucl. V, 17] $BK : KZ = AK : KA$. quare etiam

$$\varDelta B : Z\Theta = E\varDelta : \Gamma\varDelta \text{ [Eucl. VI, 4].}$$

itaque [Eucl. VI, 16] $\varDelta B \times \Gamma\varDelta = Z\Theta \times E\varDelta = \Theta Z \times ZM$ [Eucl. I, 34]. uerum $\Theta Z \times ZM = ZH^2$ [I, 38], hoc est quartae parti figurae ad AB adplicatae aequale. ergo etiam $\varDelta B \times \Gamma\varDelta$ quartae parti figurae ad AB adplicatae aequale est.

XLIII.

Si recta hyperbolam contingit, ab asymptotis ad centrum sectionis rectas abscindet rectangulum comprehendentes aequale rectangulo comprehenso rectis abscisis a recta in uertice sectionis ad axem posito contingenti.

sit hyperbola AB, asymptotae autem $\Gamma\varDelta$, $\varDelta E$, axis autem $B\varDelta$, et per B contingens ducatur ZBH, alia autem quaeuis contingens $\Gamma A\Theta$. dico, esse

$$Z\varDelta \times \varDelta H = \Gamma\varDelta \times \varDelta\Theta.$$

ducantur enim ab A, B rectae $\varDelta H$ parallelae AK, BA, rectae autem $\Gamma\varDelta$ parallelae AM, BN. iam quoniam $\Gamma A\Theta$ contingit, erit $\Gamma A = A\Theta$ [II, 3]. quare erit $\Gamma\Theta = 2\Theta A$, $\Gamma\varDelta = 2AM$ [Eucl. VI, 2; I, 34], $\varDelta\Theta = 2AK$ [Eucl. VI, 4]. itaque erit

$$\Gamma\varDelta \times \varDelta\Theta = 4KA \times AM.$$

iam eodem modo demonstrabimus, esse

$$Z\varDelta \times \varDelta H = 4\varDelta B \times BN.$$

est autem $KA \times AM = AB \times BN$ [II, 12]. ergo etiam $\Gamma\varDelta \times \varDelta\Theta = Z\varDelta \times \varDelta H$.

τὸ ὑπὸ ΖΔΗ τετραπλάσιον τοῦ ὑπὸ ΑΒΝ. ἴσον δὲ τὸ ὑπὸ ΚΑΜ τῷ ὑπὸ ΑΒΝ· ἴσον ἄρα καὶ τὸ ὑπὸ ΓΔΘ τῷ ὑπὸ ΖΔΗ.

ὁμοίως δὴ δειχθήσεται, κἂν ἡ ΔΒ ἑτέρα τις ᾖ διάμετρος καὶ μὴ ἄξων.

μδ'.

Ἐὰν ὑπερβολῆς ἢ τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι ταῖς ἀσυμπτώτοις, αἱ ἐπὶ τὰς τομὰς ἀγόμεναι παράλληλοι ἔσονται τῇ τὰς ἁφὰς ἐπιζευγνυούσῃ.

ἔστω γὰρ ἡ ὑπερβολὴ ἢ ἀντικείμεναι ἡ ΑΒ, ἀσύμπτωτοι δὲ αἱ ΓΔΕ καὶ ἐφαπτόμεναι αἱ ΓΑΘΖ, ΕΒΘΗ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΒ, ΖΗ, ΓΕ. λέγω, ὅτι παράλληλοί εἰσιν.



ἐπεὶ γὰρ τὸ ὑπὸ ΓΔΖ ἴσον τῷ ὑπὸ ΗΔΕ, ἔστιν ἄρα, ὡς ἡ ΓΔ πρὸς ΔΕ, ἡ ΗΔ πρὸς ΔΖ· παράλληλος ἄρα ἐστὶν ἡ ΓΕ τῇ ΖΗ. καὶ διὰ τοῦτο ὡς ἡ ΘΖ πρὸς ΖΓ, ἡ ΘΗ πρὸς ΗΕ. ὡς δὲ ἡ ΗΕ πρὸς ΗΒ, ἡ ΓΖ πρὸς ΑΖ· διπλῆ γὰρ ἑκατέρα· δι' ἴσου ἄρα ὡς ἡ ΘΗ πρὸς ΗΒ, ἡ ΘΖ πρὸς ΖΑ. παράλληλος ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΑΒ.

με'.

Ἐὰν ἐν ὑπερβολῇ ἢ ἐλλείψει ἢ κύκλου περιφερείᾳ ἢ ταῖς ἀντικειμέναις ἀπ' ἄκρου τοῦ ἄξονος ἀχθῶσιν

13. ΑΒ] ΑΗ V; corr. p. 17. τῷ] τό V; corr. pc. ἔστιν — 18. ΓΔ] om. V; corr. p.

iam eodem modo hoc demonstrabimus, etiam si $\varDelta B$ alia aliqua diametrus est, non axis.

XLIV.

Si duae rectae hyperbolam uel oppositas contingentes cum asymptotis concurrunt, rectae ad puncta sectionis ductae parallelae erunt rectae puncta contactus coniungenti.

sit enim AB aut hyperbola aut oppositae, asymptotae autem $\Gamma\varDelta$, $\varDelta E$ contingentesque $\Gamma A \Theta Z$, $EB\Theta H$, et ducantur AB, ZH, ΓE. dico, eas parallelas esse.



nam quoniam est

$$\Gamma\varDelta \times \varDelta Z = H\varDelta \times \varDelta E$$

[prop. XLIII; cfr. Eutocius], erit [Eucl. VI, 16]

$$\Gamma\varDelta : \varDelta E = H\varDelta : \varDelta Z;$$

itaque [Eucl. VI, 6; I, 27, 28] ΓE et ZH parallelae sunt. qua de causa erit

$\Theta Z : Z\Gamma = \Theta H : HE$ [Eucl. VI, 2]. est autem $HE : HB = \Gamma Z : AZ$; nam utraque duplo maior est utraque [II, 3]. ex aequo igitur [Eucl V, 22] $\Theta H : HB = \Theta Z : ZA$. ergo [Eucl. VI, 2] ZH, AB parallelae sunt.

XLV.

Si in hyperbola uel ellipsi uel circulo uel oppositis a terminis axis rectae perpendiculares ducuntur, et quartae parti figurae aequale axi adplicatur in utramque partem spatium in hyperbola oppositisque figura εὐθεῖαι πρὸς ὀρθάς, καὶ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἴσον παρὰ τὸν ἄξονα παραβληθῇ ἐφ' ἑκάτερα ἐπὶ μὲν τῆς ὑπερβολῆς καὶ τῶν ἀντικειμένων ὑπερβάλλον εἴδει τετραγώνῳ, ἐπὶ δὲ τῆς ἐλλείψεως ἐλλεῖπον, ἀχθῇ δέ τις εὐθεῖα ἐφαπτομένη τῆς τομῆς συμπίπτουσα ταῖς πρὸς ὀρθὰς εὐθείαις, αἱ ἀπο τῶν συμπτώσεων ἀγόμεναι εὐθεῖαι ἐπὶ τὰ ἐκ τῆς παραβολῆς γενηθέντα σημεῖα ὀρθὰς ποιοῦσι γωνίας πρὸς τοῖς εἰρημένοις σημείοις.



ἔστω μία τῶν εἰρημένων τομῶν, ἧς ἄξων ὁ AB, πρὸς ὀρθὰς δὲ αἱ $A\Gamma$, $B\Delta$, ἐφαπτομένη δὲ ἡ $\Gamma E\Delta$, καὶ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἴσον παραβεβλήσθω ἐφ' ἑκάτερα, ὡς εἴρηται, τὸ ὑπὸ AZB καὶ τὸ ὑπὸ AHB, καὶ ἐπεζεύχθωσαν αἱ ΓZ, ΓH, ΔZ, ΔH. λέγω, ὅτι ἥ τε ὑπὸ $\Gamma Z\Delta$ καὶ η ὑπὸ $\Gamma H\Delta$ γωνία ὀρθή ἐστιν.

ἐπεὶ γὰρ τὸ ὑπὸ $A\Gamma$, $B\Delta$ ἴσον ἐδείχθη τῷ τετάρτῳ μέρει τοῦ πρὸς τῇ AB εἴδους, ἔστι δὲ καὶ τὸ ὑπὸ AZB ἴσον τῷ τετάρτῳ μέρει τοῦ εἴδους, τὸ ἄρα ὑπὸ $A\Gamma$, ΔB ἴσον ἐστὶ τῷ ὑπὸ AZB. ἔστιν ἄρα, ὡς ἡ ΓA πρὸς AZ, ἡ ZB πρὸς $B\Delta$. καὶ ὀρθαὶ αἱ πρὸς τοῖς A, B σημείοις γωνίαι· ἴση ἄρα ἡ μὲν ὑπὸ $A\Gamma Z$ γωνία τῇ ὑπὸ $BZ\Delta$, ἡ δὲ ὑπὸ $AZ\Gamma$ τῇ ὑπὸ $Z\Delta B$. καὶ ἐπεὶ ἡ ὑπὸ ΓAZ ὀρθή ἐστιν, αἱ ἄρα ὑπὸ $A\Gamma Z$,

20. $\Gamma Z\Delta$] p; $\Gamma\Delta Z$ vc, $\Gamma\Delta''Z'$ V (lineolae a manu 2?). 27. ὑπό] pc, supra scr. m. 1 V.

quadrata excedens, in ellipsi autem deficiens, sectionemque contingens recta ducitur cum rectis perpendicularibus concurrens, rectae a punctis concursus ad puncta



adplicatione orta ductae ad puncta, quae diximus, rectos angulos efficiunt.

sit aliqua sectionum, quas diximus, cuius axis sit AB, perpendiculares autem $A\Gamma$, $B\Delta$ contingensque $\Gamma E\Delta$, et quartae parti figurae aequale in utramque partem adplicetur ita, ut diximus, $AZ \times ZB$ et $AH \times HB$, ducanturque ΓZ, ΓH, ΔZ, ΔH. dico, angulos $\Gamma Z\Delta$ et $\Gamma H\Delta$ rectos esse.

nam quoniam demonstrauimus, esse $A\Gamma \times B\Delta$ quartae parti figurae ad AB adplicatae aequale [prop. XLII], uerum etiam $AZ \times ZB$ quartae parti figurae aequale est, erit $A\Gamma \times \Delta B = AZ \times ZB$. itaque $\Gamma A : AZ = ZB : B\Delta$ [Eucl. VI, 16]. et anguli ad A, B positi recti sunt; itaque [Eucl. VI, 6] $\angle A\Gamma Z = BZ\Delta$, $\angle AZ\Gamma = Z\Delta B$. et quoniam $\angle \Gamma AZ$ rectus est, $\angle A\Gamma Z + AZ\Gamma$ uni recto aequales sunt [Eucl. I, 32]. et demonstrauimus etiam, esse

$$\angle A\Gamma Z = \Delta ZB;$$

itaque $\angle \Gamma Z A + \Delta ZB$ uni recto aequales erunt. ergo

ΔΖΓ μιᾷ ὀρθῇ ἴσαι εἰσίν. ἐδείχθη δὲ καὶ ἡ υπὸ ΔΓΖ ἴση τῇ ὑπὸ ΔΖΒ· αἱ ἄρα ὑπὸ ΓΖΔ, ΔΖΒ μιᾷ ὀρθῇ ἴσαι εἰσί. λοιπὴ ἄρα ἡ ὑπὸ ΔΖΓ ὀρθή ἐστιν. ὁμοίως δὴ δειχθήσεται καὶ ἡ ὑπὸ ΓΗΔ ὀρθή.

μς′.

Τῶν αὐτῶν ὄντων αἱ ἐπιζευγνύμεναι ἴσας ποιοῦσι γωνίας πρὸς ταῖς ἐφαπτομέναις.

τῶν γὰρ αὐτῶν ὑποκειμένων λέγω, ὅτι ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΓΖ γωνία τῇ ὑπο ΔΓΗ, ἡ δὲ ὑπὸ ΓΔΖ τῇ ὑπὸ ΒΔΗ.

ἐπεὶ γὰρ ἐδείχθη ὀρθὴ ἑκατέρα τῶν ὑπὸ ΓΖΔ, ΓΗΔ, ὁ περὶ διάμετρον τὴν ΓΔ γραφόμενος κύκλος ἥξει διὰ τῶν Ζ, Η σημείων· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΔΓΗ τῇ ὑπὸ ΔΖΗ· ἐν γὰρ τῷ αὐτῷ τμήματι τοῦ κύκλου εἰσίν. ἡ δὲ ὑπὸ ΔΖΗ ἐδείχθη ἴση τῇ ὑπὸ ΑΓΖ· ὥστε ἡ ὑπὸ ΔΓΗ ἴση τῇ ὑπὸ ΑΓΖ. ὁμοίως δὲ καὶ ἡ ὑπο ΓΔΖ τῇ ὑπὸ ΒΔΗ.



μζ′.

Τῶν αὐτῶν ὄντων ἡ ἀπὸ τῆς συμπτώσεως τῶν ἐπιζευχθεισῶν ἐπὶ τὴν ἁφὴν ἀγομένη πρὸς ὀρθὰς ἔσται τῇ ἐφαπτομένῃ.

ὑποκείσθω γὰρ τὰ αὐτὰ τοῖς πρότερον, καὶ συμπιπτέτωσαν ἀλλήλαις αἱ μὲν ΓΗ, ΖΔ κατὰ τὸ Θ, αἱ

4. ΓΗΔ] p, ΓΔ″Η′ V (lineolae a m. 2?), ΓΔΗ vc. 9. ΓΔΖ] cp, ΓΔΞ V. 19. ΔΓΗ] ΔΓΖ V; corr. p.

reliquus angulus $\Delta Z \Gamma$ rectus est [Eucl. I, 13]. iam eodem modo demonstrabimus, etiam $\angle\, \Gamma H \Delta$ rectum esse.

XLVI.

Iisdem positis rectae ductae ad contingentes angulos aequales efficiunt.

nam iisdem suppositis dico, esse $\angle\, A \Gamma Z = \Delta \Gamma H$, $\angle\, \Gamma \Delta Z = B \Delta H$.

quoniam enim demonstrauimus, utrumque angulum $\Gamma Z \Delta$, $\Gamma H \Delta$ rectum esse [prop. XLV], circulus circum diametrum $\Gamma \Delta$ descriptus per puncta Z, H ueniet [Eucl. III, 31]; itaque $\angle\, \Delta \Gamma H = \Delta Z H$ [Eucl. III, 21];



nam in eodem segmento circuli positi sunt. demonstrauimus autem, esse $\angle\, \Delta Z H = A \Gamma Z$ [prop. XLV]; quare etiam $\angle\, \Delta \Gamma H = A \Gamma Z$. et eodem modo demonstrabimus, esse etiam $\angle\, \Gamma \Delta Z = B \Delta H$.

XLVII.

Iisdem positis recta a puncto concursus rectarum ductarum ad punctum contactus ducta ad contingentem perpendicularis erit.

supponantur enim eadem, quae antea, et ΓH, $Z \Delta$

δὲ ΓΔ, ΒΑ ἐκβαλλόμεναι κατὰ τὸ Κ, καὶ ἐπεζεύχθω ἡ ΕΘ. λέγω, ὅτι κάθετός ἐστιν ἡ ΕΘ ἐπὶ τὴν ΓΔ.





εἰ γὰρ μή, ἤχθω ἀπὸ τοῦ Θ ἐπὶ τὴν ΓΔ κάθετος ἡ ΘΛ. ἐπεὶ οὖν ἴση ἡ ὑπὸ ΓΔΖ τῇ ὑπὸ ΗΔΒ, ἔστι δὲ καὶ ὀρθὴ ἡ ὑπὸ ΔΒΗ ὀρθῇ τῇ ὑπὸ ΔΛΘ ἴση, ὅμοιον ἄρα τὸ ΔΗΒ τρίγωνον τῷ ΛΘΔ. ὡς ἄρα ἡ ΗΔ πρὸς ΔΘ, ἡ ΒΔ πρὸς ΔΛ. ἀλλ' ὡς ἡ ΗΔ πρὸς ΔΘ, ἡ ΖΓ πρὸς ΓΘ διὰ τὸ ὀρθὰς εἶναι τὰς πρὸς τοῖς Ζ, Η καὶ τὰς πρὸς τῷ Θ ἴσας· ὡς δὲ ἡ ΓΖ πρὸς ΓΘ, ἡ ΑΓ πρὸς ΓΛ διὰ τὴν ὁμοιότητα τῶν ΑΖΓ, ΛΓΘ τριγώνων· καὶ ως ἄρα ἡ ΒΔ πρὸς ΔΛ, ἡ ΑΓ πρὸς ΓΛ. ἐναλλάξ, ὡς ἡ ΔΒ πρὸς ΓΑ, ἡ ΔΛ πρὸς ΛΓ. ἀλλ' ὡς ἡ ΔΒ πρὸς ΓΑ, ἡ ΒΚ πρὸς ΚΑ· καὶ ὡς ἄρα ἡ ΔΛ πρὸς ΓΛ, ἡ ΒΚ πρὸς ΚΑ. ἤχθω ἀπὸ τοῦ Ε παρὰ τὴν ΑΓ ἡ ΕΜ· τεταγμένως ἄρα ἔσται κατηγμένη ἐπὶ τὴν ΑΒ· καὶ ἔσται, ὡς ἡ ΒΚ πρὸς ΚΑ, ἡ ΒΜ πρὸς ΜΑ. ὡς δὲ ἡ ΒΜ πρὸς ΜΑ, ἡ ΔΕ πρὸς ΕΓ· καὶ ὡς ἄρα ἡ ΔΛ πρὸς ΛΓ, ἡ ΔΕ

---

7. *ἴση ἐστὶν ἡ* cp. *ΓΔΖ*] pvc, in V littera Ζ mire deformata. 10. *ΔΒΗ*] *ΒΔ''Η'* V (lineolae a m. 2); corr. p. 12. *τό*] *τὸ ὑπό* V; corr. p.

inter se concurrant in Θ, $\Gamma\Delta$ autem et $B\Lambda$ productae in K, ducaturque $E\Theta$. dico, esse $E\Theta$ ad $\Gamma\Delta$ perpendicularem.

nam si minus, a Θ ad $\Gamma\Delta$ perpendicularis ducatur $\Theta\Lambda$. quoniam igitur $\angle\, \Gamma\Delta Z = H\Delta B$ [prop. XLVI],



et $\angle\, \Delta BH = \Delta\Lambda\Theta$ (nam recti sunt), trianguli ΔHB, $\Lambda\Theta\Delta$ similes sunt. itaque $H\Delta : \Delta\Theta = B\Delta : \Delta\Lambda$ [Eucl. VI, 4]. uerum $H\Delta : \Delta\Theta = Z\Gamma : \Gamma\Theta$ [ibid.], quia anguli ad Z, H positi recti sunt [prop. XLV] et anguli ad Θ positi aequales; et [Eucl. VI, 4] $\Gamma Z : \Gamma\Theta = A\Gamma : \Gamma\Lambda$ propter similitudinem triangulorum $AZ\Gamma$, $\Lambda\Gamma\Theta$ [prop. XLVI]; quare etiam

$$B\Delta : \Delta\Lambda = A\Gamma : \Gamma\Lambda.$$

permutando [Eucl. V, 16] $\Delta B : \Gamma A = \Delta\Lambda : \Lambda\Gamma$. uerum $\Delta B : \Gamma A = BK : KA$ [Eucl. VI, 4]; quare etiam $\Delta\Lambda : \Gamma\Lambda = BK : KA$. ducatur ab E rectae $A\Gamma$ parallela EM; ea igitur ad AB odinate ducta erit [I def. 4]; et erit $BK : KA = BM : MA$ [I, 36]. est autem $BM : MA = \Delta E : E\Gamma$ [Eucl. VI, 2]; ita-πρὸς ΕΓ· ὅπερ ἄτοπον. οὐκ ἄρα ἡ ΘΔ κάθετός ἐστιν, οὐδὲ ἄλλη τις πλὴν τῆς ΘΕ.

μη'.

Τῶν αὐτῶν ὄντων δεικτέον, ὅτι αἱ ἀπὸ τῆς ἁφῆς ἐπὶ τὰ ἐκ τῆς παραβολῆς γινόμενα σημεῖα ἴσας ποιοῦσι γωνίας πρὸς τῇ ἐφαπτομένῃ.

ὑποκείσθω γὰρ τὰ αὐτά, καὶ ἐπεζεύχθωσαν αἱ ΕΖ, ΕΗ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ὑπὸ ΓΕΖ γωνία τῇ ὑπὸ ΗΕΔ.

ἐπεὶ γὰρ ὀρθαί εἰσιν αἱ ὑπὸ ΔΗΘ, ΔΕΘ γωνίαι, ὁ περὶ διάμετρον τὴν ΔΘ γραφόμενος κύκλος ἥξει διὰ τῶν Ε, Η σημείων· ὥστε ἴση ἔσται ἡ ὑπὸ ΔΘΗ τῇ ὑπὸ ΔΕΗ· ἐν γὰρ τῷ αὐτῷ τμήματι. ὁμοίως δὴ καὶ ἡ ὑπὸ ΓΕΖ τῇ ὑπὸ ΓΘΖ ἐστιν ἴση. ἡ δὲ ὑπὸ ΓΘΖ τῇ ὑπὸ ΔΘΗ ἴση· κατὰ κορυφὴν γάρ· καὶ ἡ ὑπὸ ΓΕΖ ἄρα τῇ ὑπὸ ΔΕΗ ἐστιν ἴση.

μθ'.

Τῶν αὐτῶν ὄντων ἐὰν ἀπό τινος τῶν σημείων κάθετος ἀχθῇ ἐπὶ τὴν ἐφαπτομένην, αἱ ἀπὸ τοῦ γενομένου σημείου ἐπὶ τὰ πέρατα τοῦ ἄξονος ὀρθὴν ποιοῦσι γωνίαν.

υποκείσθω γὰρ τὰ αὐτά, καὶ ἀπὸ τοῦ Η ἐπὶ τὴν ΓΔ κάθετος ἤχθω ἡ ΗΘ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΘ, ΒΘ. λέγω, ὅτι ἡ ὑπὸ ΑΘΒ γωνία ὀρθή ἐστιν.

ἐπεὶ γὰρ ὀρθὴ ἡ ὑπὸ ΔΒΗ καὶ ἡ ὑπὸ ΔΘΗ, ὁ περὶ διάμετρον τὴν ΔΗ γραφόμενος κύκλος ἥξει διὰ

4. αἱ] om. V; corr. p. 19. γενομένου] γινομένου Halley. 24. ΑΘΒ] ΑΒΘ V; corr. p.

que etiam $\Delta A : A\Gamma = \Delta E : E\Gamma$; quod absurdum est. ergo ΘA perpendicularis non est nec ulla alia praeter ΘE.

XLVIII.

Iisdem positis demonstrandum, rectas a puncto contactus ad puncta adplicatione orta ductas ad contingentem angulos aequales efficere.

supponantur enim eadem, ducanturque EZ, EH. dico, esse $\angle \Gamma EZ = HE\Delta$.

nam quoniam anguli $\Delta H\Theta$, $\Delta E\Theta$ recti sunt [prop. XLV, XLVII], circulus circum diametrum $\Delta\Theta$



descriptus per puncta E, H ueniet [Eucl. III, 31]; quare $\angle \Delta\Theta H = \Delta EH$ [Eucl. III, 21]; nam in eodem segmento positi sunt. eadem de causa etiam

$$\angle \Gamma EZ = \Gamma\Theta Z.$$

est autem $\angle \Gamma\Theta Z = \Delta\Theta H$ [Eucl. I, 15]; nam ad uerticem positi sunt. ergo etiam $\angle \Gamma EZ = \Delta EH$.

XLIX.

Iisdem positis si ab aliquo punctorum perpendicularis ad contingentem ducitur, rectae a puncto ita orto ad terminos axis ductae rectum angulum efficiunt.

supponantur enim eadem, et ab H ad $\Gamma\Delta$ perpendicularis ducatur $H\Theta$, ducanturque $A\Theta$, $B\Theta$. dico, angulum $A\Theta B$ rectum esse.

τῶν Θ, Β, καὶ ἴση ἔσται ἡ ὑπὸ ΗΘΒ γωνία τῇ ὑπὸ ΒΔΗ. ἡ δὲ ὑπὸ ΑΗΓ τῇ ὑπὸ ΒΔΗ ἐδείχθη ἴση·



καὶ ἡ ὑπὸ ΒΘΗ ἄρα τῇ ὑπὸ ΑΗΓ, τουτέστι τῇ ὑπο ΑΘΓ, ἐστιν ἴση. ὥστε καὶ ἡ ὑπὸ ΓΘΗ τῇ ὑπὸ ΑΘΒ. ὀρθὴ δὲ ἡ ὑπὸ ΓΘΗ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΘΒ.

ν΄.

Τῶν αὐτῶν ὄντων ἐὰν ἀπὸ τοῦ κέντρου τῆς τομῆς προσπέσῃ τις τῇ ἐφαπτομένῃ παράλληλος τῇ διὰ τῆς ἁφῆς καὶ ἑνὸς τῶν σημείων ἠγμένῃ εὐθείᾳ, ἴση ἔσται τῇ ἡμισείᾳ τοῦ ἄξονος.

ἔστω γὰρ τὰ αὐτὰ τοῖς πρότερον καὶ κέντρον τὸ Θ, καὶ ἐπεζεύχθω ἡ ΕΖ, καὶ αἱ ΔΓ, ΒΑ συμπιπτέτωσαν κατὰ τὸ Κ, καὶ διὰ τοῦ Θ παρὰ τὴν ΕΖ ἤχθω ἡ ΘΛ. λέγω, ὅτι ἴση ἐστὶν ἡ ΘΛ τῇ ΘΒ.

ἐπεζεύχθωσαν γὰρ αἱ ΕΗ, ΑΛ, ΛΗ, ΛΒ, καὶ διὰ τοῦ Η παρὰ τὴν ΕΖ ἤχθω ἡ ΗΜ. ἐπεὶ οὖν τὸ ὑπὸ ΑΖΒ ἴσον ἐστὶ τῷ ὑπὸ ΑΗΒ, ἴση ἄρα ἡ ΑΖ τῇ ΗΒ. ἔστι δὲ καὶ ἡ ΑΘ τῇ ΘΒ ἴση· καὶ ἡ ΖΘ ἄρα τῇ ΘΗ

3. ΑΗΓ] ΗΓ V; corr. p.

nam quoniam $\angle\, \varDelta B H$, $\varDelta \Theta H$ recti sunt, circulus circum diametrum $\varDelta H$ descriptus per Θ, B ueniet [Eucl. III, 31], et $\angle\, H \Theta B = B \varDelta H$ [Eucl. III, 21]. demonstrauimus autem, esse $\angle\, A H \Gamma = B \varDelta H$ [prop. XLV]; quare etiam $\angle\, B \Theta H = A H \Gamma = A \Theta \Gamma$ [Eucl. III, 31, 21]. itaque etiam $\angle\, \Gamma \Theta H = A \Theta B$. uerum $\angle\, \Gamma \Theta H$ rectus est; ergo etiam $\angle\, A \Theta B$ rectus est.

L.

Iisdem positis si a centro sectionis ad contingentem recta ducitur parallela rectae per punctum contactus alterumque punctorum ductae, dimidio axi aequalis erit.

sint enim eadem, quae antea, et centrum sit Θ, ducaturque EZ, et $\varDelta \Gamma$, BA in K concurrant, per Θ autem rectae EZ parallela ducatur $\Theta \varLambda$. dico, esse $\Theta \varLambda = \Theta B$.

ducantur enim EH, $A \varLambda$, $\varLambda H$, $\varLambda B$, et per H rectae EZ parallela ducatur HM. quoniam igitur est $AZ \times ZB = AH \times HB$ [ex hypothesi; cfr. prop XLV],



erit $AZ = HB$. uerum etiam $A \Theta = \Theta B$; quare etiam $Z \Theta = \Theta H$. itaque etiam $E \varLambda = \varLambda M$ [Eucl. VI, 2].

ἴση. ὥστε καὶ ἡ EA τῇ AM ἴση. καὶ ἐπεὶ ἐδείχθη ἡ ὑπὸ ΓEZ γωνία τῇ ὑπὸ ΔEH ἴση, ἡ δὲ ὑπὸ ΓEZ ἴση ἐστὶ τῇ ὑπὸ EMH, ἴση ἄρα καὶ ἡ ὑπὸ EMH τῇ ὑπὸ MEH. ἴση ἄρα καὶ ἡ EH τῇ HM. ἀλλὰ καὶ ἡ EA τῇ AM ἐδείχθη ἴση· κάθετος ἄρα ἡ HA ἐπὶ τὴν EM. ὥστε διὰ τὸ προδειχθὲν ὀρθή ἐστιν ἡ ὑπὸ AAB, καὶ ὁ περὶ διάμετρον τὴν AB γραφόμενος κύκλος ἥξει διὰ τοῦ A. καί ἐστιν ἴση ἡ ΘA τῇ ΘB· καὶ ἡ ΘA ἄρα ἐκ τοῦ κέντρου οὖσα τοῦ ἡμικυκλίου ἴση ἐστὶ τῇ ΘB.

να'.

Ἐὰν ὑπερβολῆς ἢ τῶν ἀντικειμένων παρὰ τὸν ἄξονα ἴσον ἐφ' ἑκάτερα παραβληθῇ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ὑπερβάλλον εἴδει τετραγώνῳ, καὶ ἀπὸ τῶν γενομένων ἐκ τῆς παραβολῆς σημείων κλασθῶσιν εὐθεῖαι πρὸς ὁποτερανοῦν τῶν τομῶν, ἡ μείζων τῆς ἐλάσσονος ὑπερέχει τῷ ἄξονι.

ἔστω γὰρ ὑπερβολὴ ἢ ἀντικείμεναι, ὧν ἄξων ὁ AB, κέντρον δὲ τὸ Γ, καὶ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἴσον ἔστω ἑκάτερον τῶν ὑπὸ $A\Delta B$, AEB, καὶ ἀπὸ τῶν E, Δ σημείων κεκλάσθωσαν πρὸς τὴν γραμμὴν αἱ EZ, $Z\Delta$. λέγω, ὅτι ἡ EZ τῆς $Z\Delta$ ὑπερέχει τῇ AB.

ἤχθω διὰ τοῦ Z ἐφαπτομένη ἡ $ZK\Theta$, διὰ δὲ τοῦ Γ παρὰ τὴν $Z\Delta$ ἡ $H\Gamma\Theta$· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ $K\Theta H$ τῇ ὑπὸ $KZ\Delta$· ἐναλλὰξ γάρ. ἡ δὲ ὑπὸ $KZ\Delta$ ἴση τῇ ὑπὸ $HZ\Theta$· καὶ ἡ ὑπὸ $HZ\Theta$ ἄρα ἴση ἐστὶ τῇ ὑπὸ $H\Theta Z$. ἴση ἄρα ἡ HZ τῇ $H\Theta$. ἡ δὲ ZH τῇ HE ἴση, ἐπεὶ καὶ ἡ AE τῇ $B\Delta$ καὶ ἡ $A\Gamma$ τῇ ΓB καὶ ἡ

3. EMH] (pr.) EHM V; corr. p. 23. $ZK\Theta$] $Z\Theta K$ V; corr. p. Γ] pcv; corr. ex K m. 1 V. 27. $H\Theta$ — 28. καί (alt.)] bis V; corr. p.

et quoniam demonstrauimus [prop. XLVIII], esse $\angle\, \Gamma EZ = \Delta EH$, et est [Eucl. I, 29] $\angle\, \Gamma EZ = EMH$, erit etiam $\angle\, EMH = MEH$. itaque etiam $EH = HM$ [Eucl. I, 6]. demonstrauimus autem, esse etiam $E\Delta = \Delta M$; itaque $H\Delta$ ad EM perpendicularis est [Eucl. I, 8]. quare propter id, quod antea demonstrauimus [prop. XLIX], $\angle\, A\Delta B$ rectus est, et [Eucl. III, 31] circulus circum diametrum AB descriptus per Δ ueniet. et $\Theta\Delta = \Theta B$; ergo etiam radius semicirculi $\Theta\Delta = \Theta B$.

LI.

Si axi hyperbolae uel oppositarum ad utramque partem adplicatur spatium quartae parti figurae aequale figura quadrata excedens, et a punctis adplicatione ortis ad utramuis sectionum franguntur rectae, maior minorem excedit axe.

sit enim hyperbola uel oppositae, quarum axis sit AB, centrum autem Γ, quartaeque parti figurae aequalia sint $A\Delta \times \Delta B$, $AE \times EB$, et a punctis E, Δ ad lineam frangantur EZ, $Z\Delta$. dico, esse $EZ = Z\Delta + AB$.



nam per Z contingens ducatur $ZK\Theta$, per Γ autem rectae $Z\Delta$ parallela $H\Gamma\Theta$; itaque [Eucl. I, 29] $\angle\, K\Theta H = KZ\Delta$; nam alterni sunt. uerum [prop. XLVIII] $\angle\, KZ\Delta = HZ\Theta$; quare etiam $\angle\, HZ\Theta = H\Theta Z$. ita-

ΕΓ τῇ ΓΔ· καὶ ἡ ΗΘ ἄρα τῇ ΕΗ ἐστιν ἴση. ὥστε ἡ ΖΕ τῆς ΗΘ ἐστι διπλῆ. καὶ ἐπεὶ ἡ ΓΘ ἴση δέδεικται τῇ ΓΒ, η ΕΖ ἄρα διπλῆ ἐστι συναμφοτέρου τῆς ΗΓΒ. ἀλλὰ τῆς μὲν ΗΓ διπλῆ ἡ ΖΔ, τῆς δὲ ΓΒ διπλῆ ἡ ΑΒ· ἡ ΕΖ ἄρα ἴση ἐστὶ συναμφοτέρῳ τῇ ΖΔ, ΑΒ. ὥστε ἡ ΕΖ τῆς ΖΔ ὑπερέχει τῇ ΑΒ.

νβ΄.

Ἐὰν ἐν ἐλλείψει παρα τὸν μείζονα τῶν ἀξόνων τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἴσον ἐφ' ἑκάτερα παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ ἀπὸ τῶν γενομένων ἐκ τῆς παραβολῆς σημείων κλασθῶσιν εὐθεῖαι πρὸς τὴν γραμμήν, ἴσαι ἔσονται τῷ ἄξονι.

ἔστω ἔλλειψις, ἧς μείζων τῶν ἀξόνων ὁ ΑΒ, καὶ τῷ τετάρτῳ μέρει τοῦ εἴδους ἑκάτερον ἴσον ἔστω τῶν ὑπὸ ΑΓΒ, ΑΔΒ, καὶ ἀπὸ τῶν Γ, Δ κεκλάσθωσαν πρὸς τὴν γραμμὴν αἱ ΓΕΔ. λέγω, ὅτι αἱ ΓΕΔ ἴσαι εἰσὶ τῇ ΑΒ.

ἤχθω ἐφαπτομένη ἡ ΖΕΘ, καὶ κέντρον τὸ Η, καὶ δι' αὐτοῦ παρὰ τὴν ΓΕ ἡ ΗΚΘ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΓΕΖ τῇ ὑπὸ ΘΕΚ, ἡ δὲ ὑπὸ ΖΕΓ τῇ ὑπὸ ΕΘΚ ἴση, καὶ ἡ ὑπὸ ΕΘΚ ἄρα τῇ ὑπὸ ΘΕΚ ἐστιν ἴση. ἴση ἄρα καὶ ἡ ΘΚ τῇ ΚΕ. καὶ ἐπεὶ ἡ ΑΗ τῇ ΗΒ ἴση καὶ ἡ ΑΓ τῇ ΔΒ, καὶ ἡ ΓΗ ἄρα τῇ ΗΔ ἴση· ὥστε καὶ ἡ ΕΚ τῇ ΚΔ. καὶ διὰ τοῦτο διπλῆ ἐστιν ἡ μὲν ΕΔ τῆς ΘΚ, ἡ δὲ ΕΓ τῆς ΚΗ, καὶ συναμφότερος ἡ ΓΕΔ διπλῆ ἐστι τῆς ΗΘ. ἀλλὰ καὶ ἡ ΑΒ διπλῆ τῆς ΗΘ· ἴση ἄρα ἡ ΑΒ ταῖς ΓΕΔ.

---

8. ἐν] om. V; corr. p. 10. λεῖπον V (initio paginae); corr. p. 18. ΖΕΘ] ΕΖΘ V; corr. p. 19. ΗΚΘ] ΗΘΚ V; corr. p.

que [Eucl. I, 6] $HZ = H\Theta$. est autem $ZH = HE$ [Eucl. VI, 2], quoniam $AE = B\Delta$, $A\Gamma = \Gamma B$, $E\Gamma = \Gamma\Delta$. itaque etiam $H\Theta = EH$; quare $ZE = 2H\Theta$. et quoniam demonstrauimus, esse $\Gamma\Theta = \Gamma B$ [prop. L], erit $EZ = 2(H\Gamma + \Gamma B)$. uerum $Z\Delta = 2H\Gamma$ [Eucl. VI, 4] et $AB = 2\Gamma B$. ergo $EZ = Z\Delta + AB$.

LII.

Si in ellipsi maiori axi ad utramque partem adplicatur spatium quartae parti figurae aequale figura quadrata deficiens, et a punctis adplicatione ortis ad lineam franguntur rectae, eae axi aequales erunt.



sit ellipsis, cuius axis maior sit AB, et quartae parti figurae aequalia sint $A\Gamma \times \Gamma B$, $A\Delta \times \Delta B$, et a Γ, Δ ad lineam frangantur ΓE, $E\Delta$. dico, esse $\Gamma E + E\Delta = AB$.

ducatur contingens $ZE\Theta$, centrum autem sit H, et per id rectae ΓE parallela ducatur $HK\Theta$. iam quoniam $\angle \Gamma EZ = \Theta EK$ [prop. XLVIII], et [Eucl. I, 29] $\angle ZE\Gamma = E\Theta K$, erit etiam $\angle E\Theta K = \Theta EK$. quare etiam $\Theta K = KE$ [Eucl. I, 6]. et quoniam $AH = HB$ et $A\Gamma = \Delta B$, erit etiam $\Gamma H = H\Delta$; quare etiam $EK = K\Delta$ [Eucl. VI, 2]. ideo $E\Delta = 2\Theta K$,

$$E\Gamma = 2KH \text{ [Eucl. VI, 4]},$$

νγʹ.

Ἐὰν ἐν ὑπερβολῇ ἢ ἐλλείψει ἢ κύκλου περιφερείᾳ ἢ ταῖς ἀντικειμέναις ἀπ' ἄκρας τῆς διαμέτρου ἀχθῶσιν παρὰ τεταγμένως κατηγμένην, καὶ ἀπὸ τῶν αὐτῶν περάτων πρὸς τὸ αὐτὸ σημεῖον τῆς γραμμῆς ἀχθεῖσαι εὐθεῖαι τέμνωσι τὰς παραλλήλους, τὸ περιεχόμενον ὑπὸ τῶν ἀποτεμνομένων ἴσον ἐστὶ τῷ πρὸς τῇ αὐτῇ διαμέτρῳ εἴδει.

ἔστω μία τῶν εἰρημένων τομῶν ἡ ΑΒΓ, ἧς διάμετρος ἡ ΑΓ, καὶ παρὰ τεταγμένως κατηγμένην ἤχθωσαν αἱ ΑΔ, ΓΕ, καὶ διήχθωσαν αἱ ΑΒΕ, ΓΒΔ. λέγω, ὅτι τὸ ὑπὸ ΑΔ, ΕΓ ἴσον ἐστὶ τῷ εἴδει τῷ πρὸς τῇ ΑΓ.

ἤχθω γὰρ ἀπὸ τοῦ Β παρὰ τεταγμένως κατηγμένην ἡ ΒΖ. ἔστιν ἄρα, ὡς τὸ ὑπὸ ΑΖΓ πρὸς τὸ ἀπὸ ΖΒ, ἡ πλαγία πρὸς τὴν ὀρθίαν καὶ πρὸς τὸ εἶδος τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον. ὁ δὲ τοῦ ὑπὸ ΑΖΓ πρὸς τὸ ἀπὸ ΒΖ λόγος σύγκειται ἐκ τοῦ τῆς ΑΖ πρὸς ΖΒ καὶ τοῦ τῆς ΓΖ πρὸς ΖΒ· ὁ ἄρα τοῦ εἴδους πρὸς τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον λόγος σύγκειται ἐκ τοῦ τῆς ΖΒ πρὸς ΖΑ καὶ τοῦ τῆς ΒΖ πρὸς ΓΖ. ἀλλ' ὡς μὲν ἡ ΑΖ πρὸς ΖΒ, ἡ ΑΓ πρὸς ΓΕ, ὡς δὲ ἡ ΓΖ πρὸς ΖΒ, ἡ ΓΑ πρὸς ΑΔ· ὁ ἄρα τοῦ εἴδους πρὸς τὸ ἀπὸ τῆς ΑΓ τετράγωνον λόγος σύγκειται ἐκ τοῦ τῆς ΓΕ πρὸς ΓΑ καὶ τοῦ τῆς ΑΔ πρὸς ΓΑ. σύγκειται δὲ καὶ ὁ τοῦ ὑπὸ ΑΔ, ΓΕ πρὸς τὸ ἀπὸ ΑΓ τετράγωνον ἐκ τῶν αὐτῶν· ὡς ἄρα τὸ εἶδος πρὸς τὸ

2. ἐν] e corr. p, om. Vc. 10. τεταγμένως κατηγμένην] τεταγμένην V; corr. Halley. 11. διήχθωσαν] v, διή- corr. ex η m. 1 V; ἤχθωσαν c. 12. ΑΔ] pcv, post Α del. Β m. 1 V. 21. ΖΑ] ΒΑ V; corr. Comm.

et $\Gamma E + E\varDelta = 2H\Theta$. uerum etiam $AB = 2H\Theta$ [prop. L]. ergo $AB = \Gamma E + E\varDelta$.

LIII.

Si in hyperbola uel ellipsi uel circulo uel oppositis a terminis diametri rectae ordinate ductae parallelae rectae ducuntur, et ab iisdem terminis ad idem punctum lineae ductae rectae parallelas secant, rectangulum comprehensum partibus abscisis figurae eidem diametro adplicatae aequale est.

sit una sectionum, quas diximus, $AB\Gamma$, cuius diametrus sit $A\Gamma$, et rectae ordinate ductae parallelae ducantur $A\varDelta$, ΓE, ducanturque ABE, $\Gamma B\varDelta$. dico, esse

$$A\varDelta \times E\Gamma$$

figurae ad $A\Gamma$ adplicatae aequale.



nam a B rectae ordinate ductae parallela ducatur BZ. itaque erit [I, 21], ut $AZ \times Z\Gamma : ZB^2$, ita latus transuersum ad rectum et $A\Gamma^2$ ad figuram. uerum $AZ \times Z\Gamma : ZB^2 = (AZ : ZB) \times (\Gamma Z : ZB)$. itaque ratio figurae ad $A\Gamma^2$ aequalis est

$$(ZB : ZA) \times (BZ : \Gamma Z).$$

est autem $AZ : ZB = A\Gamma : \Gamma E$, $\Gamma Z : ZB = \Gamma A : A\varDelta$ [Eucl. VI, 4]; itaque ratio figurae ad

$$A\Gamma^2 = (\Gamma E : \Gamma A) \times (A\varDelta : \Gamma A).$$

Praeter nostram figuram aliam habet V in oppositis, sed imperfectam et litteris omissis; in nostra quoque litterae a manu 2 esse uideri possunt.

ἀπὸ τῆς ΑΓ τετράγωνον, οὕτως τὸ ὑπὸ ΑΔ, ΓΕ πρὸς τὸ ἀπὸ ΑΓ τετράγωνον. ἴσον ἄρα τὸ ὑπὸ ΑΔ, ΓΕ τῷ παρὰ τὴν ΑΓ εἴδει.

νδ'.

Ἐὰν κώνου τομῆς ἢ κύκλου περιφερείας δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, διὰ δὲ τῶν ἁφῶν παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις, καὶ ἀπὸ τῶν ἁφῶν πρὸς τὸ αὐτὸ σημεῖον τῆς γραμμῆς διαχθῶσιν εὐθεῖαι τέμνουσαι τὰς παραλλήλους, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν ἀποτεμνομένων πρὸς τὸ ἀπὸ τῆς ἐπιζευγνυούσης τὰς ἁφὰς τετράγωνον λόγον ἔχει τὸν συγκείμενον ἔκ τε τοῦ, ὃν ἔχει τῆς ἐπιζευγνυούσης τὴν σύμπτωσιν τῶν ἐφαπτομένων καὶ τὴν διχοτομίαν τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης τὸ ἐντὸς τμῆμα πρὸς τὸ λοιπὸν δυνάμει, καὶ τοῦ, ὃν ἔχει τὸ ὑπὸ τῶν ἐφαπτομένων περιεχόμενον ὀρθογώνιον πρὸς τὸ τέταρτον μέρος τοῦ ἀπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης τετραγώνου.

ἔστω κώνου τομὴ ἢ κύκλου περιφέρεια ἡ ΑΒΓ καὶ ἐφαπτόμεναι αἱ ΑΔ, ΓΔ, καὶ ἐπεζεύχθω ἡ ΑΓ καὶ δίχα τετμήσθω κατὰ τὸ Ε, καὶ ἐπεζεύχθω ἡ ΔΒΕ, καὶ ἤχθω ἀπὸ μὲν τοῦ Α παρὰ τὴν ΓΔ ἡ ΑΖ, ἀπὸ δὲ τοῦ Γ παρὰ τὴν ΑΔ ἡ ΓΗ, καὶ εἰλήφθω τι σημεῖον ἐπὶ τῆς γραμμῆς τὸ Θ, καὶ ἐπιζευχθεῖσαι αἱ ΑΘ, ΓΘ ἐκβεβλήσθωσαν ἐπὶ τὰ Η, Ζ. λέγω, ὅτι τὸ ὑπὸ ΑΖ, ΓΗ πρὸς τὸ ἀπὸ ΑΓ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ, ὃν ἔχει τὸ ἀπὸ ΕΒ πρὸς τὸ ἀπὸ ΒΔ

26. ΑΓ] cvp, in V litt. Α macula obscurata.

est autem etiam

$$A\varDelta \times \Gamma E : A\Gamma^2 = (\Gamma E : \Gamma A) \times (A\varDelta : \Gamma A);$$

itaque ut figura ad $A\Gamma^2$, ita $A\varDelta \times \Gamma E : A\Gamma^2$. ergo $A\varDelta \times \Gamma E$ figurae ad $A\Gamma$ adplicatae aequale est [Eucl. V, 9].

LIV.

Si duae rectae coni sectionem uel circuli ambitum contingentes concurrunt, et per puncta contactus contingentibus parallelae ducuntur, et a punctis contactus ad idem punctum lineae ducuntur rectae parallelas secantes, rectangulum comprehensum partibus abscisis ad quadratum rectae puncta contactus coniungentis rationem habet compositam ex ea, quam habet pars interior rectae coniungentis punctum concursus contingentium punctumque medium rectae puncta contactus coniungentis ad reliquam potentia, et ea, quam habet rectangulum contingentibus comprehensum ad quartam partem quadrati rectae puncta contactus coniungentis.



sit coni sectio uel ambitus circuli $AB\Gamma$ contingen-

In Vv figurae adiectae sunt rectae octo et sex rectangula uel amplius cum litteris.

καὶ τὸ ὑπὸ ΑΔΓ προς τὸ τέταρτον τοῦ ἀπὸ ΑΓ, τουτέστι τὸ ὑπὸ ΑΕΓ.

ἤχθω γὰρ ἀπὸ μὲν τοῦ Θ παρὰ τὴν ΑΓ ἡ ΚΘΟΞΛ, ἀπὸ δὲ τοῦ Β ἡ ΜΒΝ· φανερὸν δή, ὅτι ἐφάπτεται ἡ ΜΝ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ΑΕ τῇ ΕΓ, ἴση ἐστὶ καὶ ἡ ΜΒ τῇ ΒΝ καὶ ἡ ΚΟ τῇ ΟΛ καὶ ἡ ΘΟ τῇ ΟΞ καὶ ἡ ΚΘ τῇ ΞΛ. ἐπεὶ οὖν ἐφάπτονται αἱ ΜΒ, ΜΑ, καὶ παρὰ τὴν ΜΒ ἦκται ἡ ΚΘΛ, ἔστιν, ὡς τὸ ἀπὸ ΑΜ πρὸς τὸ ἀπὸ ΜΒ, τουτέστι τὸ ὑπὸ ΜΒΝ, τὸ ἀπὸ ΑΚ πρὸς τὸ ὑπὸ ΞΚΘ, τουτέστι τὸ ὑπὸ ΛΘΚ [καὶ ἐναλλάξ, ὡς τὸ ἀπὸ ΑΜ πρὸς τὸ ἀπὸ ΑΚ, το ὑπὸ ΝΒΜ πρὸς τὸ ὑπὸ ΛΘΚ]. ὡς δὲ τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ἀπὸ ΜΑ, τὸ ὑπὸ ΛΓ, ΚΑ πρὸς τὸ ἀπὸ ΚΑ· δι' ἴσου ἄρα, ὡς τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΒΜ, τὸ ὑπὸ ΛΓ, ΚΑ πρὸς τὸ ὑπὸ ΛΘΚ. τὸ δὲ ὑπὸ ΛΓ, ΚΑ πρὸς τὸ ὑπὸ ΛΘΚ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τῆς ΓΛ πρὸς ΛΘ, τουτέστι τῆς ΖΑ πρὸς ΑΓ, καὶ τοῦ τῆς ΑΚ πρὸς ΚΘ, τουτέστι τῆς ΗΓ πρὸς ΓΑ, ὅς ἐστιν ὁ αὐτὸς τῷ, ὃν ἔχει τὸ ὑπὸ ΗΓ, ΖΑ πρὸς τὸ ἀπὸ ΓΑ· ὡς ἄρα τὸ ὑπὸ ΝΓ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΒΜ, τὸ ὑπὸ ΗΓ, ΖΑ πρὸς τὸ ἀπὸ ΓΑ. τὸ δὲ ὑπὸ ΓΝ, ΜΑ πρὸς τὸ ὑπὸ ΝΒΜ τοῦ ὑπὸ ΝΔΜ μέσου λαμβανομένου τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ, ὃν ἔχει τὸ ὑπὸ ΓΝ, ΑΜ πρὸς τὸ ὑπὸ ΝΔΜ καὶ τὸ ὑπὸ ΝΔΜ πρὸς τὸ ὑπὸ ΝΒΜ· τὸ ἄρα ὑπὸ ΗΓ, ΖΑ πρὸς τὸ ἀπὸ ΓΑ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τοῦ ὑπὸ ΓΝ, ΑΜ πρὸς τὸ ὑπὸ ΝΔΜ καὶ τοῦ ὑπὸ ΝΔΜ πρὸς τὸ ὑπὸ ΝΒΜ. ἀλλ' ὡς μὲν τὸ ὑπὸ ΝΓ, ΑΜ πρὸς τὸ ὑπὸ ΝΔΜ, τὸ ἀπὸ ΕΒ πρὸς

3. *ΚΘΟΞΛ*] p, *ΘΚΛΞΟ* V. 4. *ΜΒΝ*] p, *ΒΜΝ* V. 11. *καί* — 12. *ΛΘΚ*] deleo cum Halleio. 27. *τοῦ τοῦ*] scripsi; *τοῦ* V.

tesque $A\varDelta$, $\Gamma\varDelta$, et ducatur $A\Gamma$ seceturque in E in duas partes aequales, et ducatur $\varDelta BE$, et ab A rectae $\Gamma\varDelta$ parallela ducatur AZ, a Γ autem rectae $A\varDelta$ parallela ΓH, sumaturque in linea punctum aliquod Θ, et ductae $A\Theta$, $\Gamma\Theta$ ad H, Z producantur. dico, esse

$$AZ \times \Gamma H : A\Gamma^2 = (EB^2 : B\varDelta^2) \times (A\varDelta \times \varDelta\Gamma : \tfrac{1}{4} A\Gamma^2)$$
$$= (EB^2 : B\varDelta^2) \times (A\varDelta \times \varDelta\Gamma : AE \times E\Gamma).$$

ducatur enim a Θ rectae $A\Gamma$ parallela $K\Theta O\Xi\varLambda$, a B autem MBN; manifestum igitur, MN contingere [I, 32]. iam quoniam $AE = E\Gamma$, erit etiam $MB = BN$, $KO = O\varLambda$ [Eucl. VI, 4; V, 16] et $\Theta O = O\Xi$ [II, 7; I, 46—47], $K\Theta = \Xi\varLambda$. quoniam igitur MB, MA contingunt, et rectae MB parallela ducta est $K\Theta\varLambda$, erit [prop. XVI] $AM^2 : MB^2 = AK^2 : \Xi K \times K\Theta$, hoc est $AM^2 : MB \times BN = AK^2 : \varLambda\Theta \times \Theta K$. est autem

$$N\Gamma \times MA : MA^2 = \varLambda\Gamma \times KA : KA^2$$

[Eucl. VI, 2; V, 18]; ex aequo igitur

$$N\Gamma \times MA : NB \times BM = \varLambda\Gamma \times KA : \varLambda\Theta \times \Theta K$$

[Eucl. V, 22]. est autem

$$\varLambda\Gamma \times KA : \varLambda\Theta \times \Theta K = (\Gamma\varLambda : \varLambda\Theta) \times (AK : K\Theta)$$
$$= (ZA : A\Gamma) \times (H\Gamma : \Gamma A) \text{ [Eucl. VI, 4]}$$
$$= H\Gamma \times ZA : \Gamma A^2.$$

itaque $N\Gamma \times MA : NB \times BM = H\Gamma \times ZA : \Gamma A^2$. est autem

$$\Gamma N \times MA : NB \times BM$$
$$= (\Gamma N \times MA : N\varDelta \times \varDelta M) \times (N\varDelta \times \varDelta M : NB \times BM)$$

medio sumpto $N\varDelta \times \varDelta M$. itaque

$$H\Gamma \times ZA : \Gamma A^2$$
$$= (\Gamma N \times AM : N\varDelta \times \varDelta M) \times (N\varDelta \times \varDelta M : NB \times BM).$$

τὸ ἀπὸ $B\Delta$, ὡς δὲ τὸ ὑπὸ $N\Delta M$ πρὸς το ὑπο NBM, τὸ ὑπὸ $\Gamma\Delta A$ πρὸς τὸ ὑπὸ $\Gamma E A$· τὸ ἄρα ὑπὸ $H\Gamma$, AZ πρὸς τὸ ἀπὸ $A\Gamma$ τὸν συγκείμενον ἔχει λόγον ἐκ τοῦ τοῦ ἀπὸ BE πρὸς τὸ ἀπὸ $B\Delta$ καὶ τοῦ ὑπὸ $\Gamma\Delta A$ πρὸς τὸ ὑπὸ $\Gamma E A$.

νε'.

Ἐὰν τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, καὶ διὰ μὲν τῆς συμπτώσεως ἀχθῇ εὐθεῖα παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν, ἀπὸ δὲ τῶν ἁφῶν διαχθῶσι παράλληλοι ταῖς ἐφαπτομέναις, προσβληθῶσι δὲ ἀπὸ τῶν ἁφῶν πρὸς τὸ αὐτὸ σημεῖον τῆς ἑτέρας τομῆς τέμνουσαι τὰς παραλλήλους, τὸ περιεχόμενον ὑπὸ τῶν ἀποτεμνομένων πρὸς τὸ ἀπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης τετράγωνον λόγον ἕξει, ὃν το ὑπο τῶν ἐφαπτομένων περιεχόμενον πρὸς τὸ ἀπὸ τῆς ἠγμένης διὰ τῆς συμπτώσεως παρὰ τὴν τὰς ἁφὰς ἐπιζευγνύουσαν ἕως τῆς τομῆς.

ἔστωσαν ἀντικείμεναι αἱ $AB\Gamma$, ΔEZ, ἐφαπτόμεναι δὲ αὐτῶν αἱ AH, $H\Delta$, καὶ ἐπεζεύχθω ἡ $A\Delta$, καὶ ἀπο μὲν τοῦ H παρὰ τὴν $A\Delta$ ἤχθω ἡ ΓHE, ἀπὸ δὲ τοῦ A παρὰ τὴν ΔH ἡ AM, ἀπὸ δὲ τοῦ Δ παρὰ τὴν AH ἡ ΔM, εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς ΔZ τομῆς τὸ Z, καὶ ἐπεζεύχθωσαν αἱ ANZ, $Z\Delta\Theta$. λέγω, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ ΓH πρὸς τὸ ὑπὸ $AH\Delta$, τὸ ἀπὸ $A\Delta$ πρὸς τὸ ὑπὸ $A\Theta$, $N\Delta$.

ἤχθω γὰρ διὰ τοῦ Z παρὰ τὴν $A\Delta$ ἡ $Z\Lambda KB$.

ἐπεὶ οὖν δέδεικται, ὅτι ἐστίν, ὡς τὸ ἀπὸ EH πρὸς τὸ ἀπὸ $H\Delta$, οὕτως τὸ ὑπὸ $B\Lambda Z$ πρὸς το ἀπὸ

3. τοῦ τοῦ] τοῦ V; corr. Halley. 23. Ante λέγω spatium 4—5 litt. hab. V.

uerum $N\Gamma \times AM : N\varDelta \times \varDelta M = EB^2 : B\varDelta^2$ [u. Eutocius] et

$N\varDelta \times \varDelta M : NB \times BM = \Gamma\varDelta \times \varDelta A : \Gamma E \times EA$

[ibid.]; ergo

$$H\Gamma \times AZ : A\Gamma^2$$
$$= (BE^2 : B\varDelta^2) \times (\Gamma\varDelta \times \varDelta A : \Gamma E \times EA).$$

LV.

Si duae rectae oppositas contingentes concurrunt, et per punctum concursus recta ducitur rectae puncta contactus coniungenti parallela, a punctis contactus autem rectae contingentibus parallelae ducuntur, et a punctis contactus ad idem punctum alterius sectionis rectae adcidunt parallelas secantes, rectangulum comprehensum partibus abscisis ad quadratum rectae puncta contactus coniungentis rationem habebit, quam rectangulum comprehensum contingentibus ad quadratum rectae per punctum concursus ductae rectae puncta contactus coniungenti parallelae usque ad sectionem.



sint oppositae $AB\Gamma$, $\varDelta EZ$ easque contingentes AH, $H\varDelta$, ducaturque $A\varDelta$, et ab H rectae $A\varDelta$ par-

ΔΑ, ἴση δὲ ἡ μὲν ΓΗ τῇ ΕΗ, ἡ δὲ ΒΚ τῇ ΑΖ, ὡς ἄρα τὸ ἀπὸ ΓΗ πρὸς τὸ ἀπὸ ΗΔ, τὸ ὑπὸ ΚΖΑ πρὸς τὸ ἀπὸ ΑΔ. ἔστι δὲ καί, ὡς τὸ ἀπὸ ΔΗ πρὸς τὸ ὑπὸ ΔΗΑ, τὸ ἀπὸ ΔΑ πρὸς το ὑπὸ ΔΑ, ΑΚ· δι' ἴσου ἄρα, ὡς τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΔΗΑ, το ὑπὸ ΚΖΑ πρὸς τὸ ὑπὸ ΔΑ, ΑΚ. ὁ δὲ τοῦ ὑπο ΚΖΑ πρὸς το ὑπὸ ΑΚ, ΔΑ λόγος ὁ συγκείμενός ἐστιν ἐκ τοῦ τῆς ΖΚ πρὸς ΚΑ καὶ τοῦ τῆς ΖΑ προς ΑΔ. ἀλλ' ὡς μὲν ἡ ΖΚ πρὸς ΚΑ, ἡ ΑΔ προς ΔΝ, ὡς δὲ ἡ ΖΑ πρὸς ΑΔ, ἡ ΑΔ πρὸς ΘΑ· ὁ ἄρα τοῦ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΔΗΑ λόγος σύγκειται ἐκ τοῦ τῆς ΑΔ πρὸς ΔΝ καὶ τοῦ τῆς ΔΑ πρὸς ΑΘ. σύγκειται δὲ καὶ ὁ τοῦ ἀπὸ ΑΔ πρὸς τὸ ὑπὸ ΑΘ, ΝΔ λόγος ἐκ τῶν αὐτῶν· ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΓΗ πρὸς τὸ ὑπὸ ΑΗΔ, τὸ ἀπὸ ΑΔ πρὸς τὸ ὑπὸ ΝΔ, ΑΘ. [ἀνάπαλιν, ὡς τὸ ὑπὸ ΑΗΔ πρὸς τὸ ἀπὸ ΓΗ, τὸ ὑπὸ ΝΔ, ΑΘ πρὸς τὸ ἀπὸ ΑΔ].

νϛ'.

Ἐὰν μιᾶς τῶν ἀντικειμένων δύο εὐθεῖαι ἐφαπτόμεναι συμπίπτωσι, διὰ δὲ τῶν ἁφῶν παράλληλοι ἀχθῶσι ταῖς ἐφαπτομέναις, καὶ ἀπὸ τῶν ἁφῶν προς το αὐτὸ σημεῖον τῆς ἑτέρας τομῆς ἀχθῶσιν εὐθεῖαι τέμνουσαι τὰς παραλλήλους, τὸ περιεχόμενον ὀρθογώνιον ὑπὸ τῶν ἀποτεμνομένων λόγον ἕξει πρὸς τὸ ἀπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης τετράγωνον τὸν συγκείμενον ἔκ τε τοῦ, ὃν ἔχει τῆς ἐπιζευγνυούσης τὴν σύμπτωσιν καὶ τὴν διχοτομίαν ἡ μεταξὺ τῆς διχοτομίας καὶ τῆς ἑτέρας τομῆς πρὸς τὴν μεταξὺ τῆς αὐτῆς

16. ἀνάπαλιν — 17. ΑΔ] deleo. 24. λόγον ἕξει] bis V; corr. pc.

allela ducatur ΓHE, ab A autem rectae ΔH parallela AM, a Δ autem rectae AH parallela ΔM, et in sectione ΔZ sumatur punctum aliquod Z, ducanturque ANZ, $Z\Delta\Theta$. dico, esse

$$\Gamma H^2 : AH \times H\Delta = A\Delta^2 : A\Theta \times N\Delta.$$

nam per Z rectae $A\Delta$ parallela ducatur $ZAKB$. quoniam igitur demonstratum est, esse

$$EH^2 : H\Delta^2 = BA \times AZ : \Delta A^2 \text{ [prop. XX]},$$

et $\Gamma H = EH$, $BK = AZ$ [II, 38; Eucl. VI, 4], erit $\Gamma H^2 : H\Delta^2 = KZ \times ZA : A\Delta^2$. uerum etiam $\Delta H^2 : \Delta H \times HA = \Delta A^2 : \Delta A \times AK$ [Eucl. VI, 2]; ex aequo igitur [Eucl. V, 22]

$$\Gamma H^2 : \Delta H \times HA = KZ \times ZA : \Delta A \times AK.$$

uerum

$$KZ \times ZA : AK \times \Delta A = (ZK : KA) \times (ZA : A\Delta).$$

est autem $ZK : KA = A\Delta : \Delta N$,

$$ZA : A\Delta = A\Delta : \Theta A \text{ [Eucl. VI, 4]};$$

itaque $\Gamma H^2 : \Delta H \times HA = (A\Delta : \Delta N) \times (\Delta A : A\Theta)$. est autem

$$A\Delta^2 : A\Theta \times N\Delta = (A\Delta : \Delta N) \times (\Delta A : A\Theta).$$

ergo $\Gamma H^2 : AH \times H\Delta = A\Delta^2 : N\Delta \times A\Theta$.

LVI.

Si duae rectae alteram oppositarum contingentes concurrunt, et per puncta contactus contingentibus parallelae ducuntur, a punctis contactus autem ad idem punctum alterius sectionis rectae ducuntur secantes parallelas, rectangulum comprehensum partibus abscisis ad quadratum rectae puncta contactus coniungentis rationem habebit compositam ex ea, quam habet rectae punctum concursus punctumque medium τομῆς καὶ τῆς συμπτώσεως δυνάμει, καὶ τοῦ, ὃν ἔχει τὸ ὑπο τῶν ἐφαπτομένων περιεχόμενον πρὸς τὸ τέταρτον μέρος τοῦ ἀπὸ τῆς τὰς ἁφὰς ἐπιζευγνυούσης.

ἔστωσαν ἀντικείμεναι αἱ ΑΒ, ΓΔ, ὧν κέντρον το Ο, ἐφαπτόμεναι δὲ αἱ ΑΕΖΗ, ΒΕΘΚ, καὶ ἐπεζεύχθω ἡ ΑΒ καὶ δίχα τετμήσθω κατὰ τὸ Λ, καὶ ἐπιζευχθεῖσα ἡ ΛΕ διήχθω ἐπὶ τὸ Δ, καὶ ἤχθω ἀπὸ τοῦ Α παρὰ τὴν ΒΕ ἡ ΑΜ, ἀπὸ δὲ τοῦ Β παρὰ τὴν ΑΕ ἡ ΒΝ, εἰλήφθω δέ τι σημεῖον ἐπὶ τῆς ΓΔ τομῆς τὸ Γ, καὶ ἐπεζεύχθωσαν αἱ ΓΒΜ, ΓΑΝ. λέγω, ὅτι τὸ ὑπὸ ΒΝ, ΑΜ πρὸς τὸ ἀπὸ ΑΒ λόγον ἔχει τὸν συγκείμενον ἐκ τοῦ τοῦ ἀπὸ ΛΔ πρὸς τὸ ἀπὸ ΔΕ καὶ τοῦ ὑπὸ ΑΕΒ πρὸς τὸ τέταρτον τοῦ ἀπὸ ΑΒ, τουτέστι τὸ ὑπὸ ΑΛΒ.

ἤχθωσαν γὰρ ἀπὸ τῶν Γ, Δ παρὰ τὴν ΑΒ αἱ ΗΓΚ, ΘΔΖ· φανερὸν δή, ὅτι [ἴση ἐστὶν ἡ ΑΛ τῇ ΛΒ] ἴση ἐστὶ καὶ ἡ ΘΔ τῇ ΔΖ καὶ ἡ ΚΞ τῇ ΞΗ. ἔστι δὲ καὶ ἡ ΞΓ τῇ ΞΠ· ὥστε καὶ ἡ ΓΚ τῇ ΗΠ. καὶ ἐπεὶ ἀντικείμεναί εἰσιν αἱ ΑΒ, ΔΓ, ἐφαπτόμεναι δὲ αἱ ΒΕΘ, ΘΔ, καὶ παρὰ τὴν ΔΘ ἡ ΚΗ, ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΒΘ πρὸς τὸ ἀπὸ ΘΔ, τὸ ἀπὸ ΒΚ πρὸς τὸ ὑπὸ ΠΚΓ. ἴσον δὲ τὸ μὲν ἀπὸ ΘΔ τῷ ὑπὸ ΘΔΖ, τὸ δὲ ὑπὸ ΠΚΓ τῷ ὑπὸ ΚΓΗ· ἔστιν ἄρα, ὡς τὸ ἀπὸ ΒΘ πρὸς τὸ ὑπὸ ΘΔΖ, τὸ ἀπὸ ΒΚ πρὸς τὸ ὑπὸ ΚΓΗ. ἔστι δὲ καί, ὡς τὸ ὑπὸ ΖΑ, ΘΒ πρὸς

5. ΑΕΖΗ] p; ΑΕΗΖ V, Η e corr. m. 1; ΑΕΝΖ cv. 12. ἐκ] om. V (extr. lin.); corr. p (ἔκ τε). τοῦ τοῦ] scripsi, τοῦ V. 14. ὑπό] bis V (extr. et initio lineae); corr. cp. 16. ΗΓΚ] Halley; ΓΗΚ V, ΚΓΗ p. ΘΔΖ] p, ΔΘΖ V. ἴση — 17. ΛΒ] deleo. 17. ἴση ἐστί] om. p. ΘΔ] Δδ V; corr. p; ΛΔ c. ΞΗ] ΖΗ V; corr. p. 18. ΓΚ] pcv, Κ e corr. m. 1 V. 19. ΔΓ] ΔΕ V; corr. p. 20. ΒΕΘ] ΒΕ V; corr. Halley. 22. πρός] bis V (extr. et init. lin.); corr. pc. 23. ΚΓΗ] ΓΚΗ V; corr. p.

coniungentis pars inter punctum medium alteramque sectionem posita ad rectam inter eandem sectionem punctumque concursus positam potentia, eaque, quam habet rectangulum contingentibus comprehensum ad quartam partem quadrati rectae puncta contactus coniungentis.



sint oppositae AB, $\Gamma\Delta$, quarum centrum sit O, contingentes autem $AEZH$, $BE\Theta K$, ducaturque AB et in Λ in duas partes aequales secetur, ducta autem ΛE ad Δ producatur, et ab A rectae BE parallela ducatur AM, a B autem rectae AE parallela BN, sumaturque in sectione $\Gamma\Delta$ punctum aliquod Γ, et ducantur ΓBM, ΓAN. dico, esse

$$BN \times AM : AB^2 = (\Lambda\Delta^2 : \Delta E^2) \times (AE \times EB : \tfrac{1}{4} AB^2)$$
$$= (\Lambda\Delta^2 : \Delta E^2) \times (AE \times EB : A\Lambda \times \Lambda B).$$

ducantur enim a Γ, Δ rectae AB parallelae $H\Gamma K$, $\Theta\Delta Z$; manifestum igitur, esse et $\Theta\Delta = \Delta Z$ et $K\Xi = \Xi H$ [Eucl. VI, 4]. uerum etiam $\Xi\Gamma = \Xi\Pi$ [I, 47]; itaque etiam $\Gamma K = H\Pi$. et quoniam oppositae sunt AB, $\Delta\Gamma$, contingentes autem $BE\Theta$, $\Theta\Delta$, et KH rectae $\Delta\Theta$ parallela, erit [prop. XVIII]

$$B\Theta^2 : \Theta\Delta^2 = BK^2 : \Pi K \times K\Gamma.$$

τὸ ἀπὸ ΘΒ, τὸ ὑπὸ ΗΑ, ΚΒ πρὸς τὸ ἀπὸ ΚΒ· δι’ ἴσου ἄρα ἐστίν, ὡς τὸ ὑπὸ ΑΖ, ΘΒ πρὸς τὸ ὑπὸ ΘΔΖ, τὸ ὑπὸ ΚΒ, ΑΗ πρὸς τὸ ὑπὸ ΚΓΗ. ὁ δὲ τοῦ ὑπὸ ΑΖ, ΘΒ πρὸς τὸ ὑπὸ ΘΔΖ λόγος τοῦ ὑπὸ ΘΕΖ μέσου λαμβανομένου σύγκειται ἐκ τοῦ τοῦ ὑπὸ ΑΖ, ΘΒ πρὸς τὸ ὑπὸ ΘΕΖ καὶ τοῦ ὑπὸ ΘΕΖ πρὸς τὸ ὑπὸ ΘΔΖ· καί ἐστιν, ὡς μὲν τὸ ὑπὸ ΑΖ, ΘΒ πρὸς τὸ ὑπὸ ΘΕΖ, τὸ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΕ, ὡς δὲ τὸ ὑπὸ ΘΕΖ πρὸς τὸ ὑπὸ ΘΔΖ, τὸ ὑπὸ ΑΕΒ πρὸς τὸ ὑπὸ ΑΔΒ· ὁ ἄρα τοῦ ὑπὸ ΑΗ, ΒΚ πρὸς τὸ ὑπὸ ΚΓΗ λόγος σύγκειται ἐκ τοῦ τοῦ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΕ καὶ τοῦ ὑπὸ ΑΕΒ πρὸς τὸ ὑπὸ ΑΔΒ. ἔχει δὲ τὸ ὑπὸ ΑΗ, ΚΒ πρὸς τὸ ὑπὸ ΚΓΗ τὸν συγκείμενον λόγον ἐκ τοῦ τῆς ΒΚ πρὸς ΚΓ καὶ τοῦ τῆς ΑΗ πρὸς ΗΓ. ἀλλ’ ὡς μὲν ἡ ΚΒ πρὸς ΚΓ, ἡ ΜΑ πρὸς ΑΒ, ὡς δὲ ἡ ΑΗ πρὸς ΗΓ, ἡ ΒΝ πρὸς ΒΑ· ὁ ἄρα συγκείμενος λόγος ἐκ τοῦ τῆς ΜΑ πρὸς ΑΒ καὶ τοῦ τῆς ΝΒ πρὸς ΒΑ, ὅς ἐστιν ὁ αὐτὸς τῷ, ὃν ἔχει τὸ ὑπὸ ΑΜ, ΒΝ πρὸς τὸ ἀπὸ ΑΒ, σύγκειται ἐκ τοῦ τοῦ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΕ καὶ τοῦ ὑπὸ ΑΕΒ πρὸς τὸ ὑπὸ ΑΔΒ.

5. τοῦ τοῦ] τοῦ V; corr. Halley. 11. τοῦ τοῦ] τοῦ V; corr. Halley. 17. πρὸς ΒΑ] om. V; corr. p. 20. τοῦ τοῦ] τοῦ V; corr. Halley. In fine: Ἀπολλωνίου Περγαίου κωνικῶν τρίτον m. 2 V, τέλος τοῦ τρίτου τῶν κωνικῶν p.

est autem $\Theta\Delta^2 = \Theta\Delta \times \Delta Z$,

$$\Pi K \times K\Gamma = K\Gamma \times \Gamma H;$$

itaque $B\Theta^2 : \Theta\Delta \times \Delta Z = BK^2 : K\Gamma \times \Gamma H$.
uerum etiam $ZA \times \Theta B : \Theta B^2 = HA \times KB : KB^2$ [Eucl. VI, 2, 4; V, 12]; ex aequo igitur

$$AZ \times \Theta B : \Theta\Delta \times \Delta Z = KB \times AH : K\Gamma \times \Gamma H$$

[Eucl. V, 22]. est autem, medio sumpto $\Theta E \times EZ$,

$$AZ \times \Theta B : \Theta\Delta \times \Delta Z$$
$$= (AZ \times \Theta B : \Theta E \times EZ) \times (\Theta E \times EZ : \Theta\Delta \times \Delta Z).$$

et $AZ \times \Theta B : \Theta E \times EZ = \Lambda\Delta^2 : \Delta E^2$ [Eucl. VI, 4; V, 12, 16],

$$\Theta E \times EZ : \Theta\Delta \times \Delta Z = AE \times EB : A\Lambda \times \Lambda B$$

[u. Pappi lemma XIII]; itaque

$$AH \times BK : K\Gamma \times \Gamma H$$
$$= (\Lambda\Delta^2 : \Delta E^2) \times (AE \times EB : A\Lambda \times \Lambda B).^*$$

est autem

$$AH \times KB : K\Gamma \times \Gamma H = (BK : K\Gamma) \times (AH : H\Gamma).$$

uerum $KB : K\Gamma = MA : AB$, $AH : H\Gamma = BN : BA$ [Eucl. VI, 4]. ergo

$$(MA : AB) \times (NB : BA)$$
$$= (\Lambda\Delta^2 : \Delta E^2) \times (AE \times EB : A\Lambda \times \Lambda B)$$
$$= AM \times BN : AB^2.$$